Ms. 382. — 170. κὰν γϊτόνϊσας ρούχον ἐπαρελήθην. — 171. με ἔκραξαν δεῦρο τεχνίτα δεῦρο. — 172. ροῦχον μου ἔπαρε τὸ ραπτϊκόν σου. Ce vers remplace les vers 172 et 173. — 174. καὶ ζημῶτὴς μαγκίπου. — 175. προφούρνϊα ἐχόρτενα καὶ ὡσὰν ἐμεῖνα νὰ εἴχεν. — 176. ὡς γὰρ ἐδϊέδενα προχθὲς πλησίον τοῦ μαγγίππου. — 177. ηὗρϊκα τὴν μαγγίπϊσαν. — 179. ἀπόξυσμα τρϊπτούτζϊκον πλὴν δὲ ἐρουκάνϊζέν το. — 180 manque. — 181 (*folio* 146 *a*). εἰσῆλθα τοίνυν παρεῦθεῖς καὶ πρὸς ἐκοίνυν εἶπα. — 182. κερὰ κερὰ μαγκίπισα τὸ πῶς ἀκούεις οὐκ εἶδα. — 183. δός μοι δαμὶν τρϊπούτζϊκον ὅπως τὸ ρουκανίσω.— 184. τὸ ἀνῦπόλῦπτον καὶ τὸ ἀσῦνηδῖτόν της. — 185 manque.— 186. στενάζω καὶ λῦπούμενος ἄλλην ἔδωκα ρύμην. — 187. ἐὰν. ὀξύγαλον να ἐπόλουν. — 188. τὴν τζούκαν δὲ τοῦ ὀξύγαλου εἰς τὸν νόμων μου να ἐκράτουν.

καὶ ἀπὸ ψυχῆς νὰ στρίγγιζα, περιπατῶν τὰς ῥύμνας·
« ἐπάρετέ δρουβανιστὸν ὀξύγαλον, κυράδες. »
Καί, κείναις ὡς τὸ χρῄζουσιν, σύντομα νὰ τὸ πούλουν.
Καταβλαττᾶς ἂν ἤμουνε, καὶ σηκωτὴς ἂν ἤμουν,
ὡς σηκωτὴς νὰ δούλευα ἅπασαν τὴν ἡμέραν,
καὶ τὸ βραδὺν νὰ μ' ἔδιδαν μεγάλην κομματοῦραν,
τὸ ἄσπρον ἐμποτόπουλον γεμάτον κρασοβόλιν,
καὶ μονοκύθρου μερτικὸν ἐκ τὰ λιπαρωμένα,
καὶ κἂν ἐπὶ τὸ σκόλασμα νἄπιανα τὴν λαπάραν,
καὶ νὰ τὴν ἔκρουγα βουκκιαΐς, ὡς καὶ τὸ δίκαιον εἶχεν. (F. 431 *b*.)
Κεντήκλας ἂν ἐμάθανα καὶ τοὺς πιπεροτρίφτας,
ὁδοιπορῶν νὰ στρίγγιζα, περιπατῶν νὰ λάλουν·
« κυράδες χειρομάχισσαις καλοκοδέσποιναίς μου,
προκύψατε, βηλαρικὰς ἐπάρετε κεντήκλας,
καὶ τοὺς πιπεροτρίφτας μου, νὰ τρίβετε πιπέριν. »
Καὶ ὡς εἶναι καλοκοδέσποιναις ὁκάποσαις κυράδες,
καὶ τὰς κεντήκλας νἄπαιρναν καὶ τοὺς πιπεροτρίφτας.

Ms. 1310. — 189. ῥίμνας. — 191. κεῖνες. — 192. καταβλατὰς. συκοτής. — 193. συκοτής. δούλεβα. — 194. κοματούραν. — 195. κρασοβόλην. — 196. μονοκίθρου. λιπαρομένα. — 198. βουκίαις. — 199. κεντίκλας. πηπεροτρίφτας. — 200. ὁδιπορῶν. — 201. χειρομάχησες καλοκοδέσπινες. — 204. εἶνε καλοκοδέσποινες ὁκάποσες. — 205. νάπερναν.

Ms. 382. — 189. ἐστρύγγιζα. ρύμας. — 190. γῦναῖκες. — 191. καὶ ἐκοῖναι χρίζουσῖ. να ἐξεπόλουν. — 192. ἂν ἔμαθον. — 193. νὰ ἐδούλευσα τὴν ἅπασαν ἡμέραν. — 194. καὶ τὸ βραδὺ να με ἐδῖδαν. Puis ces vers :

τὴν χθὲς οὐκ ἐζῡμώσαμεν ἀλεῦριν οὐκ εἴτον
καὶ ὁλοκοτίνιν κίστευσον οὐκ εἶχα να ἀγοράσω
πολλὰ τὴν εἶπα πεῖνα μου ἄφες μοι τρίτην ὥραν
καὶ μόνον ἔασον μικρὸν μὴ τραλῖσθῆ τὸ φῶς μου
ἀλλ' ὅμως οὐχ ἠποίκουσεν ὅσον να τὴν κοτζώσω.

195. καὶ τὸ ἄσπρον τὸ εμποτόπουλον γεμάτον τὸ κρασίον. — 196. καὶ μοκύθρου (*sic*). λαπαριμαΐα. — 197. καὶ γὰρ ἐπὶ τὸ. ἐπίανα. — 198. ἔκρουα (*folio* 146 *a*) κοπετὸν ὡς καὶ τὸ δίκαιον ἔχει. — 199. κεντούκλεαν ἐμάθανα καὶ τοὺς πετροτρίπτας (*sic*). — 200. ἐστρίγγιζα. ἐλάλουν. — 201. κεράδες. καλλοοἰκοδέσπῖναίς μου. — 202. κεντούκλας. — 203. πεπεροτρίπτας. — 204. καὶ ὡς καλοἰκοδέσποινες ὁκάποσαι κεράδες. — 205. κεντούκλας να ἔπερναν. πιπεροτρίπτας.

Ἀλλὰ καὶ τί καλὲ παινῶ τοὺς χεροτεχναρίους,
ὡς γὰρ θωρῶ τὰ πράγματα, τὴν εὐτυχιὰν τὴν ἔχουν;
Κηπουρικὴν πολύκαρπον νἀργάζουμουν τὴν τέχνην,
συκίτζια καὶ ῥοδάκινα, ῥῳδίτζια, μυγδαλίτζια,
δαμασκηνάπιδόμηλα, δαμάσκηνα κροκάτα,
τὰ λέγουν ἀνατολικά, τὰ λέγουν λαγηνάτα,
καὶ ἄλλα τὰ τῶν κηπουρῶν, σκόρδα καὶ κρομμυδίτζια,
ματζάνας, λαχανόγουλα, κραμπιὰ καὶ σευκλογούλια·
καὶ κἂν ψωμὶν ὁ κηπουρὸς νὰ χόρταινα καὶ γούλας·
καὶ μουχτερὸν ὁ κηπουρὸς ἔχει καὶ θρέφει τοῦτο,
καὶ θρέφει καὶ τὸν κηπουρὸν καὶ μουχτερὸν ὁ κῆπος.
Παστελλοπούλης, καρυδᾶς, κανναβοσησαμάτος.
καὶ δαυκοψίστης, ῥεπανᾶς, σευκλογουλᾶς ἂν ἤμουν·
« τὰ καρυδάτ', ἀρχόντισσαις, ἐδῶ τὰ σησαμάτα! »
Καὶ ἡ ἀρχόντισσαις νὰ τἄπαιρναν, νὰ μ' ἔδιδαν κομμάτας,
καὶ νἄχασιν τὰ χεῖλη μου κἂν γλυκασμὸν ὀλίγον.
Τὴν ναυτικὴν πολύκοπον νἀργάζουμουν τὴν τέχνην,
νὰ μετερχόμην πέραμαν, ναῦρισκα ὁκάτι κέρδος,
ὡς κωπηλάτης πρότερον, δεύτερον ὡς πλωρήτης·
νὰ γένουμουν καὶ ναύκλερος καὶ νἄχα μέγαν κέρδος.
Γείτοναν ἔχω κοσκινᾶν, φάρσωμα μᾶς χωρίζει,
ἀπ' αὐτοὺς ὁποῦ μπήγουσιν κατακάμπου ματζοῦκαν,
ὅνταν ἐβγοῦν καὶ τρέχουσιν σύνδυο αἱ καροῦχαι·
καὶ βλέπω τὴν ἱστίαν των πῶς συχνοφλαμμαρίζει,

Ms. 1310. — 207. θορῶ. — 209. σικύτζια. μυγδαλήτζια. — 212. κρομηδίτζια. — 214. ψωμὴν. χόρτενα. — 217. παστελοκούλης. καναβοσισαμάτος. — 218. εἶμουν. — 219. ἀρχόντισες. συσαμάτα. — 220. οἱ ἀρχόντισες. τάπερναν. κομάτας. — 224. κοπιλάτης πρώτερον. πλορίτης. — 226. γίτωναν. κοσκηνὰν. χορίζει. — 228. εὐγοῦν. — 229. συχνοφακλαρίζει. Je crois que les scribes ont confondu le κ avec le μ.

Ms. 382. — 206. ἀλλὰ τι τοῦτο ὅτι ἐπαινῶ. χειροτεχναρίους. — 207. πρὸς ὃ θεώρω εἰς τὰ γράμματα τὴν εὐτῖχίαν ἣν ἔχω. — 208-225 manquent. — 226. φάλσωμα.— 227. ὁκου σπίγωσι. κάμκον. — 228. ὅταν ἐκβοῦν καὶ τρέχωσιν αἱ δύο αἱ. — 229. νῖστίαν του πῶς σῦνοχλοφλακαρίζει (*sic*).

καὶ πῶς ἀπὸ τὰ κρέατα μοσχομυρίζει τζίκνα.
Πότε δὲ τὴν ἀνθρακιὰν τὴν φοβερὰν ἐκείνην
κειμένην βλέπω, βασιλεῦ, μετὰ τῶν ὀψαρίων,
καὶ τζίκναν φέρουσι πολλὴν ὡς ἀπὸ τῶν βρωμάτων· (F. 432*a*.)
καὶ 'γὼ τζικνόνω διὰ ψωμίν, καὶ οὐκ ἔχω τί νὰ φάγω·
ζητῶ, καὶ οὐδὲν μὲ δίδουσιν· λέγουν με· « περιπάτει·
γραμματικὸν σὲ βλέπομεν τετρακαλαμαράτον,
καὶ φάγε, μυριοεμπύρετε, 'κ τὰ γραμματικά σου·
ἂν δὲ πολλάκις ἀτυχῇς ἐκ τὰ γραμματικά σου,
ἔκβαλε τὰ παπαδικά, καὶ γίνου προχεράρης,
φόρει καὶ τὸ προσώμιν σου, καὶ τὸν πηλὸν κουβάλει,
καὶ τὰ χαλίκια σύνασε, νὰ παίρνῃς τὸν μισθόν σου,
καὶ νὰ χορτάσῃς τὸ ψωμίν, τὸ πεθυμᾷς, ὡς λέγεις. »
Ἐπεὶ γραμματικός εἰμαι καὶ μέγας στιχοπλόκος,
καί, πίστευσον, βαροῦμαι το νὰ γένω προχεράρης,
μπηγοματζούκης, κοσκινᾶς, κάλλιον τὄχω νὰ γένω,
τὸ κουβαλεῖν γὰρ τὸν πηλὸν ὡς φορτικὸν ἡγοῦμαι.
Σὺ δὲ πρὸς τοῦτο, βασιλεῦ, τί μὲ λέγεις νὰ ποίσω;
Ἐλπίζω 'τι τὸ κράτος σου νὰ μὲ χειραγωγήσῃ,
καὶ πάλιν ἐκκλησιαστικὸς νὰ γένω ν' ἀπογράφω,
νὰ εὔχωμαι τὰ σκῆπτρα σου μέσον ἀπὸ καρδίας
σκηπτροκρατῆσαι κραταιῶς γῆς πάσης καὶ θαλάσσης.

Ms. 1310. — 230. μοσχομυρίζη. — 234. ψωμὴν. — 235. κὲ. — 237. ἐκ τα. — 238. ἀτυχεὶς. (Vers oublié par Coray dans l'édition qu'il a donnée de ce poëme.)— 240. προσώψιν. κουβάνει. — 241. πέρνῃς. — 242. ψωμὴν. — 243. εισε. στοιχοπλόκος. — 244. βαρούμε. — 246. κουβαλὴν. — 250. εὔχομαι.

Ms. 382. — 230. καὶ πῶς πολλάκις τῶν νεκρῶν ἀπολυόντα τζύκναν. — 233. φέρουσαν πολὴν μετὰ καὶ τῶν βρωμάτων. — 234. καὶ ἐγὼ. — 235. δίδουσι.— 237. καὶ τρώγε μυριοέμπύρετος καὶ ἀπὸ τὰ γράμματά σου. — 239. ἐκκλισιάστικᾶ. προσχειράρης. — 240 (*folio* 147 *a*). καὶ φόρει τὸ. — 241. σύναζε νὰ ἐπάρις τὸν. — 242. καὶ να χορτένεις. τὸ ἐπιθυμεῖς. — 243 manque. — 244. πρὸσχειάρις. — 245. σπιγοματζούκης. τὸ ἔχω. — 247. τί με διακελεύεις. — 248. ἐλπίζω εἰς τὸ. ἵνα με ἐλεήσεις. — 249. ἐκκλησιάστικὸς διάκονος να γένω. — 250. μέσης.

Ἀπὸ γὰρ τῆς πτωχείας μου καὶ βλασφημῶ πολλάκις,
καὶ λέγουσίν με· « σώπασε, σαλέ, μὴ συντυχαίνῃς,
μήπως καὶ μετὰ θάνατον καταδικάφρυσίν σε
εἰς σκώληκαν ἀκοίμητον, εἰς τάρταρον, εἰς σκότος. »
Ἐγὼ δέ, κοσμοκράτωρ μου, ταύτας τὰς τρεῖς κολάσεις
ἐνταῦθα τὰς κολάζομαι καὶ πρὸ τῆς τελευτῆς μου.
Σκώληκα τὸν ἀκοίμητον μιμοῦμαι τὴν πενίαν,
ἥτις με τρώγει πάντοτε καὶ καταδαπανᾷ με·
τάρταρον τὸν τουρτουρισμόν, τὸν τουρτουρίζω τώρα,
ὡς ἐκ χειμῶνος παγετοῦ, καὶ τί φορεῖν οὐκ ἔχω·
καὶ γὰρ οὐκ ἔχων τί φορεῖν μεγάλως τουρτουρίζω.
Σκότος δὲ πάλιν ἀφεγγὲς τὸν σκοτασμόν μου κρίνω,
τὸν ἔχω τότε, βασιλεῦ, ὅταν ψωμὶν οὐκ ἔχω,
ἂν γὰρ οὐκ ἔχω τί φαγεῖν, σκοτίζομαι τῆς πείνας.
Ἔδε καὶ σκότος ἀφεγγές, καὶ τάρταρος καὶ σκώληξ.
Ἀλλά, κρατάρχα βασιλεῦ τεσσάρων γῆς κλιμάτων,
χάρισόν μοι τῷ δούλῳ σου μικρὸν τὰς ἀκοάς σου,
ὡς ἵνα καὶ τὸ πρὸ μικροῦ συμβάν μοι σαφηνίσω.
Εἰς τοῦ πατρός μου τὸ κελλὶν ἀκρόπαστον ἀπάκιν (F. 432 *b*.)
σύμπλευρον ἐμαγέρευσαν, σύλλαρδον, ἐκ τὰ ξεύρεις·
καὶ τὸ τραπέζιν ἔσυραν, κ' ἐκάθισαν νὰ φᾶσιν.
Τούτους ἰδὼν ὁ δοῦλος σου γύρωθεν καθημένους,
ὡς ἔθος εἶχα, σὺν αὐτοῖς ὥρμησα συγκαθίσαι·

Ms. 1310. — 253. σόπασε. συντυχένης. — 260. τόρα. — 264. ψωμὴν. — 267. κλημάτων. — 269. καὶ τῶ. — 270. κελὴν. ἀπᾶκην. — 271. σύλαρδον. ξεύρης. — 272. τραπέζην. ἐκάθησαν. — 274. ὥρμισα συγκαθήσαι.

Ms. 382. — 252. βλασφημῶ καὶ λέγω. — 253. καὶ λέγουν με σίγα σαλὲ καὶ μὴ πολλὰ φωνάζης. — 254. καταδικάσωσίσε. — 255. εἰς κόλικα. τάρταρον τοῦ σκότους. — 258. κέκτημαι τὴν πατνίαν. — 260. Le scribe a oublié τώρα. — 261. σκότος δὲ πάλιν παγετὸς καὶ τί φορεῖν οὐκ ἔχω (inadvertance du copiste). — 262. μὴ ἔχων. — 263 (*folio* 147 *b*). — 264. ὃν ἔχω. — 265. καὶ γὰρ μὴ ἔχων. τῇ πίνι. — 266. ἰδοῦ νὴν σκόλιξ τάρταρος καὶ ἀφεγγὲς τὸ σκότος. — 270. πατρὸς deux fois. — 271. ἐμαγέρευον. ἐξεύρεις. — 272. καὶ θέντες καὶ τὴν τράπεζαν ἐκάθησαν νὰ φάγουν. — 274. ὡς εἶχον ἔθος σὺν αὐτοῖς ἤραμον συγκαθίσαι.

ἐκεῖνοι δ' ἐξεπήδησαν λέγοντες ὁμοφώνως·
« μαθὸν καὶ ποῦ ἀργαβιάζεσαι; τάδω δὲν ἔχεις τόπον·
παπᾶς γραμματικός εἶσαι, τρέφε τὸν ἑαυτόν σου·
μὴν βλέπῃς τὸ ἀπάκιν μας, δὲν εἶσαι σὺ διὰ τοῦτο.
Ἂν δὲ πεινᾷς, ἀγόρασε, γραμματικέ, καὶ φάγε. »
Τούτων δὲ πρὸς μέ, βασιλεῦ, ἁπάντων λεγομένων,
ὁκάτι πῶς ἐγίνετον κτύπος εἰς τὸ κατώγιν,
καὶ πάντες ἐσηκώθησαν, ἔφυγον παραυτίκα,
ἐλπίζοντες ὅτι χαλᾷ τὸ σπίτιν νὰ τοὺς πνίξῃ,
πολλὰ γὰρ ἦτον παλαιόν, πάνυ σεσαθρωμένον.
Ἐγὼ δ' ὡς εὗρον κείμενον τὸ σύμπλευρον ἀπάκιν,
ἠρξάμην συβουκκίζεσθαι, καὶ εἰς τὸν νοῦν μου λέγω·
« οὐκ εἶμ' ἐγὼ τὸν ἔλεγαν· οὐ διαβῇ εἰς λάρυγγά σου;
ἀλλ' ἴδε τὴν ἀσύγκριτον θεοῦ φιλανθρωπίαν,
πῶς ὑπὲρ λόγον ἔφερε τ' ἀπάκιν εἰς ἐμέναν!
Ταῦτα δὲ λέγων, βασιλεῦ, τὴν μάχαιραν κρατήσας,
ἠρξάμην ἐμπουκκόνεσθαι μέχρις εἰς κόρον ἦλθον.
Μετὰ δὲ ταῦτα, βασιλεῦ, κάτω κἀγὼ κατῆλθον,
τάχα γυρεύων σὺν αὐτοῖς πόθεν ὁ κτύπος ἦλθεν,
πρότερον τὸ κατούδιν μας στήσας εἰς τὸ τραπέζιν,

Ms. 1310. — 276. ἀργαβιάζεσε. τάδε. — 277. εισε. — 278. τὴν et un μ au-dessus du τ. βλέπεις. ἀπάκην. εἶσε. — 280. βασιλεὺς. — 281. ἐγείνετον. κατώγην. — 282. ἐσυκόθησαν. — 283. σπίτιν. πνήξει. — 284. σεσαθρομένον. — 285. ἀπάκην. — 286. συβουκίζεσθαι. Coray a remplacé ce mot par συλλογίζεσθαι, leçon donnée par le manuscrit 382. — 289. ἔφερες. ἀπάκην. — 290. μάχεραν. — 292. βασιλεύς. — 293. γυρέβων. — 294. πρώτερον. τραπέζην.

Ms. 382. — 276. μαθὸν μηδάρτι βιάζεσαι ἐλθὲ καὶ νὰ καθίσῃς. — 278. μὴ δὲν βλέπεις τὰ ἀπάκιν μας οὐκ ἔνι τοῦ λαρίγγός σου.— 279. πίνᾶς γραμματικαί ἀγόρασον καὶ φάγε. — 281. ἐγένετο. κατόγεον. — 282. ἐφύγασιν αὐτίκα. — 283. νομίσαντες ὅτι χαλὰ τοῦτο να τοὺς κλακόσῃ. — 284. ἔνι γὰρ πλεῖστα καὶ πολλὰ πάνυ. — 285 (*folio* 148 *a*). ἐγὼ δὲ ὡς ηὕρικα κείμενον σύμπλευρον τὸ ἀπάκιν. — 286. σϋλογίζεσθαι καθ' ἑαυτὸν καὶ λέγειν. — 287. οὐκ εἶμε αὐτὸς ὃν ἔλεγες οὐκ ἔνι τοῦ λαρίγγός σου. — 288. τοῦ θεανθρώπου κρίσιν.— 289. πῶς εὐσϋγκρίτως ἔφερε τὸ ἀπάκιν.— 291. ἐμβουκόνεσθαι μέχρι τοῦ κορεστῆναι. — 293. γυρεύειν. κτύπος ἦτον.

διὰ νὰ 'ποῦν ὅτι ἔποικεν ἡ κάτα τὴν ζημίαν.
Ἅπαντες δὲ μετὰ μικρὸν τῇ κέλλῃ συνελθόντες,
καὶ τὸ κατούδιν ἄνωθεν ἰδόντες τῆς τραπέζης,
ἔρριψαν λίθους κατ' αὐτοῦ, λέγοντες· « φονευθήτω,
ὅτι ἔφαγεν τὸ θαυμαστὸν ἀκρόπαστον ἀπάκιν. »
Ὕστερον δὲ τὴν μηχανὴν εὐστόχως ἐγνωκότες,
ὀλίγον μειδιάσαντες ἐξεῖπον ὁμοφώνως·
« Ἴδ' ὁ παπᾶς ὁποῦφαγεν τὸ θαυμαστὸν ἀπάκιν·
καὶ ἡμεῖς ἀδικούσαμεν τὸ ταπεινὸν κατούδιν. »
Καὶ ηὗραν τὰ σκουτέλλια τους πλήρης καθερισμένα·
πλύσιμον οὐκ ἠθέλασιν καθόλου τὰ πινάκια.
Ἡμεῖς ψωμὶν οὐκ εἴχαμεν, καὶ τί ἄλλον γυρεύεις;
ὅπου γὰρ λείπει τὸ ψωμίν, προσφὰν οὐκ ἐνθυμοῦνται·
τοῦ προσφαγίου ἡ μέριμνα κ' ἡ λεῖψις τοῦ ψωμίου
τὰς ἐνθυμήσεις τὰς πολλὰς πολλὰ τὰς περικόπτουν. (F. 433*a*.)
Πεῖνα μου, πάλιν πεῖνα μου, καὶ δεύτερον σὲ γράφω,
καὶ τώρα μόνον ἄφες με ὅτι ψωμὶν οὐκ ἔχω·
παῦ' ὡς νὰ πάρω δανεικόν· ποσῶς οὐκ ἡμερώθη.
Εἴ τις ἂν ἔχῃ σήμερον ψωμὶν καὶ Ἁλοκοτίνιν,
ἐκεῖνος καὶ φιλόσοφος, ῥήτωρ καὶ καλλιγράφος.
Τί δὲ λοιπόν, ἂν ἔμαθα τοῦ κόσμου τὰ βιβλία,
καὶ τὸ ψωμὶν ἐπιθυμῶ πότε νὰ τὸ χορτάσω;
Καλὸς ἐν' ὁ Λιβάγιος, ἂν ἔχῃ καὶ χρυσάφιν·
τὸν Ὅμηρον μὲ δίδασιν, καὶ ψόφουν ἐκ τὴν πεῖναν·
εἶπαν με· « μάθε Ὀππιανόν, πεῖναν οὐδὲν φοβεῖσαι. »
Ὡς ἔμαθα τὸν Ὀππιανόν, τάχα καὶ 'γὼ καυχήσθην·

Ms. 1310. — 296. κέλη. — 298. ἔριψαν. — 299. ἀπάκην. — 301. μειδειάσαντες. — 302. ἀπάκην. — 304. σκουτέλια. πλῆρις. — 306. γυρέβεις. — 307. λύπει. — 308. λίψις. — 312. παλλ' ὡς. ἡμερώθει. — 313. ἔχει. λοκοτήνην. — 314. καλιγράφος. — 318. ψώφουν.

Ms. 382. — 295. διὰ τὸ να ἰποῦν ὅτι ἐποίησεν ἐκεῖνον τὴν. — 296. προσελθόντες. — 297. τὸ δὲ κατούδεν βλέψαντες ἄνωθεν τῆς. — 298. λίθον. σκοτοθείτω. — 300. ἐπιγνόντες. — 302. ἴδε ὁ. ἔφαγεν τὸ ἀκρόπαστον ἀπάκιν. — 303. ἐγκατεπλίκαμεν τὸ πονηρὸν κατούδιν. — 304-378 manquent.

« φεῦγε, πτωχειά 'ς τοὺς χωρικούς, ὕπαγε εἰς ἀσόφους·
ἐγὼ πλουσίαν ἔμαθα τὴν τέχνην τῶν γραμμάτων,
Ὀππιανὸν ἐκτήθησα, πεῖναν οὐδὲν φοβοῦμαι. »
Κ' ἐκείνη ὑπομουγκρίζουσα μικρὸν μὲ ἐπεστράφην·
ὡς ἐκατέστησεν λοιπὸν τὸ μάγουλόν μου ἡ πεῖνα,
οὐδὲ λαπάραν ὅμοιαζεν τὴν καταζαρωμένην.
Ἂν μ' ἔλειπεν Ὀππιανός, κ' ἔπιανα φουρνητάρης,
πολὺν καλὸν μ' ἐξέβαινεν καὶ διαφοροτερίτζιν.
Ἂν ἤμουν παραζυμωτὴς ἢ ζυμωτὴς μαγκίπου,
προφούρνια νὰ χόρταινα, νάχα καλὴν ἡμέραν.
Τὴν στράταν ἤρχουμουν ποτὲ μὲ πεῖναν καὶ μὲ δίψαν,
καὶ τζίκνα γέμισαν πολλὴν τ' ἀρθούνια μου 'ς τὴν στράταν,
κ' εἰς τ' ἄντερά μου σέβηκεν, καὶ τάραξεν τὴν πεῖναν·
τὴν τζίκναν ἠκολούθησα κ' εἰς μακελλειὸν μὲ πάγει·
ἐκ' ηὗρα κρεὰς καὶ ψήνασιν σουγλιταρειὰν μεγάλην.
Τοῦ μακελλάρη τὴν γυνὴν ἠρξάμην κολακεύειν·
« κυρά, κυρὰ μαστόρισσα, κυρὰ χορδοκοιλίστρα,
καὶ μουτλογατονόσκουφε γυνὴ τοῦ μακελλάρη,
δός με ὀλίγον ἔντερον, δός με δαμὶν μαστάριν,
λαπάραν 'κ τὴν λαπάραν σου, ἐξ αὕτην τὴν βαστάζεις,
λαπάραν τραγανόδεχτον τὴν ἄντικρυς νευρώδη,
τὴν ἐκδαρμένην πάντοτε καὶ μὴ παχαινευμένην,
τὴν οὖσαν σταφιδόχνοτον, τὴν ἀκροσαχνισμένην. »
Εἶδα καλὴν προαίρεσιν, εἶδα καλὴν γυναῖκα·
οὐκ ἐπιστάμην ἄτυχος τὴν συσκευὴν καὶ πρᾶξιν,
τρόπον τὸν κακομήχανον τῆς γυναικός, ὁ τάλας,
ἐκ τῆς χειρὸς λαβούσης με καὶ θρόνον ἐκτεθείσης·
καὶ τὸ τραπέζιν μ' ἔθηκεν τοιαῦτα λέγων πρός με· (F. 433 *b*.)

Ms. 1310. — 321. χοριχοὺς. — 324. ὑπομουγγρίζωσα. — 326. ὁμιαζεν. καταζαρομένην. — 327. ὀπιανὸς. — 328. πολλὴν. ἐξέδενεν. διαφοροτερίτζην. — 329. μαγγίπου. — 330. χόρτενα. — 334. μακελίον. — 335. ἐκεῖβρα. ψίνασιν. — 336. μακελάρη. — 337. μαστόρισα. — 338. μακελάρη. — 339. δαμὴν μαστάρην. — 340. ἐκ. — 342. παχενευμένην. — 343. ἀκροσαχνησμένην. — 344. ἴδα. ἴδα. γυνέκα. — 345. συσκεδὴν.

« κάθισ', ἀφέντη, κάθισε, γραμματικὲ νοτάρη,
γραμματικέ, φιλόσοφε διπλοκαλαμαράτε. »
Καὶ τὸ τραπέζιν μ' ἔθηκεν, καὶ σύρνει με μανδήλιν,
καὶ σκουτελλίτζιν μ' ἔθηκεν γεμάτον τὴν λαπάραν.
Καὶ πρώτην βοῦκκαν ἔβαλα, καὶ δεύτερην, καὶ τρίτην·
τέταρτον, ὡς τὸ σύνηθες, ἔσκυψα νὰ τὴν κόψω·
εὐθὺς (καὶ ποῦ τὴν ἔκρυβεν τὴν σύσκατον ἐκείνην,
τὴν κοπροπαραγέμιστον καὶ τὴν δυσωδεστάτην;)
καὶ κροῦ με καταπρόσωπα μὲ τὴν κοιλιάν, καὶ λέγει·
« φάγε, καλὲ γραμματικέ, γραμματικὲ νοτάρη,
γραμματικὲ φιλόσοφε, ἐντεροχορδοπλύτα·
κάλλιον ἦτον νἄτρωγες αὐτοῦνον τὸ μελάνιν,
παρὰ τὴν τυμπανόκρουστην, τὴν σκατωτὴν λαπάραν. »
Κάππα μου, πάλιν κάππα μου παλαιοχαρβαλωμένη,
κάππα μου, ὅνταν σ' ἔθεκεν ἡ Βλάχα νὰ σὲ φάνῃ,
πολλὰ δάκρυα σὲ γέμισεν καὶ στεναγμοὺς μεγάλους·
ἐσὲν ἔχω καὶ πάπλωμαν, κάππα, καὶ ἀπανωφόριν,
ἐσέναν καὶ ποκάμισον, ἐσὲν κ' ἐπιβαλτάριν·
καὶ τὴν Λαμπρὴν τὴν κυριακὴν 'ς τὴν ἐκκλησιὰν ἂν πάγω,
ὅλους χωρεῖ ἡ ἐκκλησιά, καὶ μὲν οὐδὲν ἐχώρει·
καὶ ἀπὸ τὸ σεῖσμαν τὸ πολὺν καὶ τὸ πολὺν τὸ διῶμαν,
ἐπαίρνω, πάγω, βασιλεῦ, 'ς τὸ σπίτιν ὑπαγαίνω,
τὸ σπίτιν, τὸ παλαιόσπιτον τὸ καινουργιοχαλασμένον.
Νυστάζω, πέφτω τάχατε, τυλίγομαι τὴν κάππαν·
κοιμοῦμ' ὡς τὸ μεσάνυκτον· καὶ ἄκου τί παθάνω·
ἐμπλέκουνταί μ' ἡ ψείραις μου ἄνωθεν ἕως κάτω,
καὶ βάνω τὸ χερίτζιν μου, συντρίβω καὶ τζακίζω,

Ms. 1310. — 351. σύρνη. — 352. σκουτελίτζην. — 353. βούκαν. δεύτεριν. — 361. σκατοτήν. — 362. παλεοχαρβαλομένη. — 363. φάνει. — 364. γέμησεν. — 365. σὲν (*sic*). Le rubricateur a oublié l'ὲ initial. ἀπανωφόρην. — 366. καὶ ἐπιβαλτάρην. — 369. σίσμαν. διόμαν. — 370. ἐπέρνω. βασιλεὺς. σπίτην ὑπαγένω. — 371. σπίτην. κενουργιοχαλασμένον. — 372. τυλήγωμαι. κάπαν. — 373. κυμοῦμ.— 374. ἐμπλέκουντέ μ οἱ ψύρες. — 375. χερίτζην.

ἐβγάνω τ' ὁλοκόκκινον, νᾶπες βαφειὰν ὁμοιάζω.
Κάππα μου, ὁποῦ δύναται, κάππα μου, ἂς σὲ ἀγοράσῃ·
κάππα μου, ἠγανάκτησα, κάππα, τὰς χάριτάς σου.
Ἀλλ', ὦ Κομνηνοβλάστητον ἀπὸ πορφύρας ῥόδον,
ὦ βασιλέων βασιλεῦ, καὶ τῶν ἀνάκτων ἄναξ,
καὶ κράτος τὸ τρικράτιστον ἀπὸ παππoτερόθεν,
εἰσάκουσόν μου τῆς φωνῆς καὶ τῆς δεήσεώς μου,
θύραν ἐλέους ἄνοιξον, καὶ χεῖρα πάρασχέ μοι
ἀνάγουσαν ἐκ λάκκου με καὶ βόθρου τῆς πενίας.
Σὺ γὰρ ἐλέους οἰκτιρμῶν μετὰ θεόν ἡ θύρα,
σὺ μόνος ὑπερασπιστὴς τῶν ἐν ἀνάγκαις βίου, (F. 434 *a*.)
σὺ καὶ τὸ καταφύγιον πάντων τῶν χριστωνύμων,
σὺ βασιλέων βασιλεύς, σὺ ἐκ τῶν προπατόρων
φιλεύσπλαγχος, φιλότεκνος, φιλοίκτωρ, φιλοικτίρμων,
ῥῦσαι με τῆς στερήσεως, ῥῦσαι με τῆς πενίας·
τῶν δανειστῶν μου, βασιλεῦ, λῦσον τὰς ἐπιθέσεις,
οὐδὲ γὰρ φέρειν δύναμαι τούτων τὰς κατακρίσεις.
Τοὺς τέσσαρας προβάλλομαι, θεόστεπτε, μεσίτας,
τοὺς μαρτυρήσαντας στερρῶς ὑπὲρ Χριστοῦ σωτῆρος,
Γεώργιον, Δημήτριον, Τύρωνα, Στρατηλάτην,
οἵ τε καὶ ταξιδεύοιεν ἐν πᾶσι ταξιδίοις
καὶ συνοδοιποροῦσι σου τῷ τρισκρατίστῳ κράτει.

Ms. 1310. — 376. εὐγάνω τολοκόκκινον. βαφαίαν.—377. κάπα. κάπα. — 378. κάπα. κάπα. — 381. παποτερόθεν. — 384. λάκου. — 387. χριστονύμων. — 389. φιλίκτωρ φιλικτίρμων. — 390. ὑστερίσεως. πενείας. — 393. στερῶς. — 397. τρισκρατείστω.

Ms. 382.— 380. βασιλευόντων βασιλεῦ.— 381. τρισκράτιστον μητρόθεν καὶ πατρόθεν. — 382 (*folio* 148 *b*). — 383. πάρασχέ με. — 384. ἀνάγουσαν ἐκ βόθρου με λάκου τοῦ τῆς πενίας.— 387. καὶ σὺ τὸ. — 388. βασιλεὺς καὶ πάντων σὺ δεσπότης. — 389 manque. — 391. τὰς ἀπαιτήσεις. — 392. τὰς τούτων κατακρίσεις. — 394. χριστοῦ τοῦ λόγου. — 396. οἵ καὶ σὺνταξιδεύσωσιν ἐν πάσει. — 397. σὺνοδοικορήσουσιν τῇ σῇ θεόστεφία.

ΔΙΗΓΗΣΙΣ ΕΞΑΙΡΕΤΟΣ ΒΕΛΘΑΝΔΡΟΥ ΤΟΥ ΡΩΜΑΙΟΥ, (F. 1 *a*.)

ὅς, διὰ θλίψιν ἄπειρον, ἣν εἶχεν ἐκ πατρός του,
ἀπεξενώθην, ἔφυγεν 'κ τῆς γονικῆς του χώρας,
καὶ πάλιν ἐπανέστρεψεν, ἔλαβε δὲ Χρυσάτζα,
τὴν θυγατέρα τοῦ ῥηγὸς μεγάλης Ἀντιοχείας,
ἀλλὰ κρυφίως τοῦ πατρὸς καὶ τῆς μητρὸς τῆς κόρης.

BIBLIOTH. NATIONALE. Manuscrit 2909.

Δεῦτε, προσκαρτερήσατε μικρόν, ὦ νέοι πάντες,
θέλω σᾶς ἀφηγήσασθαι λόγους ὡραιοτάτους,
ὑπόθεσιν παράξενην, πολλὰ παρηλλαγμένην·
ὅστις γὰρ θέλει ἐξ αὐτῆς θλιβῆν τε καὶ χαρῆναι,
καὶ νὰ θαυμάσῃ ὑπόθεσιν τῆς τόλμης καὶ ἀνδρείας.
Ὅταν γὰρ ἐβασίλευε Ῥοδόφιλος ὁκάτις (F. 1 *b*.)
μετὰ τῶν δυὸ τῶν υἱῶν αὐτοῦ Φιλάρμου καὶ Βελθάνδρου,
τῶν θαυμαστῶν καὶ τῶν λαμπρῶν καὶ πορφυρογεννήτων·
υἱὸς δευτεροτόκος ὁ Βέλθανδρος γὰρ ἦτον
τοῦ Ῥοδοφίλου τοῦ ταὐτοῦ μεγάλου βασιλέως·

TITRE, *à l'encre rouge*. Je le reproduis ici intégralement, en faisant observer que les restitutions que j'y ai introduites sont celles d'Ellissen; elles sont, du reste, autorisées par le vers 1282 et les suivants. διήγησις ἐξαίρετος βελθάνδρου τοῦ ρωμαίου ὃς διαθλίψην ἣν εἶχεν ἐκ πατρὸς αὐτοῦ ἀπεξενώθην ἔφυγεν ἐκ τῆς γονικῆς του χώρας καὶ πάλιν ἐπανέστρεψεν ἔλαβε δὲ χρυσάτζα θῦγατέρα ῥηγὸς μεγάλης ἀντιοχείας πλὴν κρυφίως πατρὸς καὶ μητρὸς αὐτῆς.

VERS PREMIER. Ellissen a lu ὡραῖοι et Mavrophrydis ὦ νέοι. Il faut avouer que ce mot est écrit de telle façon dans le manuscrit qu'à première vue on peut facilement s'y tromper et lire ὡραῖοι; mais, avec un peu d'attention, on s'aperçoit que la seconde lettre est un ν qui ressemble beaucoup à un ρ non fermé par le haut; les autres ν sont plus ouverts. Je crois donc qu'il faut lire ὡναῖοι (*ms.*) = ὦ νέοι, leçon qui est certainement préférable à ὡραῖοι. — 5. θαυμάσῃς.

αὐτὸς γὰρ οὖν ὁ Βέλθανδρος εἶχε μεγάλην λύπην,
ἐκ τοῦ πατρὸς ἐθλίβετον, μυριοκαταφρονεῖτον,
αὐτὸς καὶ ἐξενώθηκεν ἀπὸ τὰ γονικά του,
καὶ πῶς ἀπέφυγεν αὐτὸς τῆς γονικῆς του χώρας,
καὶ πῶς ἐκακοπάθησεν μετὰ καὶ τῆς Χρυσάτζας,
καὶ πῶς τὸ κυκλοδρόμημα τοῦ χρόνου τε τοσούτου
ἔφερε καὶ κατήντησε τῆς πατρικῆς ἀξίας,
καὶ ὁ πρώην τε μισούμενος φιλούμενος ἐγίνη,
καὶ στέμμα καὶ διάδημα τῆς αὐτοκρατορίας
ἔφερε, καὶ κατήντησε καὶ βασιλεὺς ἱστάθην,
σὺν τῇ συζύγῳ τῇ καλῇ, τῇ κόρῃ τῇ Χρυσάτζᾳ, (F. 2 *a*.)
ῥηγὸς μεγάλου θύγατηρ μεγάλης Ἀντιοχείας.
Λοιπὸν τὸν νοῦν ἱστήσατε ν'ἀκούσητε τὸν λόγον,
καὶ νὰ θαυμάσετε πολλά, ψεύστης οὐ μὴ φανοῦμαι.
Δυνάστης ἦτον βασιλεὺς Ῥοδόφιλος ὀκάτις,
τὸ ὄνομα ῥωμαϊκόν, χώρων ὑπεραπείρων
τυραννικῶς αὐθέντευεν ὡς φυσικὸς αὐθέντης,
καὶ τοὺς ἐκεῖσε γύρωθεν ἐδέσποζε τοπάρχας·
εἶχε καὶ παῖδας εὐειδεῖς, ἠγαπημένους δύο·
ὁ πρῶτος ὠνομάζετο Φλαρμος παρὰ πάντων,
Βέλθανδρος δὲ ὁ δεύτερος τὴν τῶν Ῥωμαίων λέξιν,
παράξενος καὶ κυνηγός, πανευτυχὴς δεξιώτης,
εἰς κάλλος καὶ εἰς σύνθεσιν μέγας τε καὶ ἀνδρεῖος,
ξανθὸς καὶ σγουροκέφαλος, εὐόφθαλμος καὶ ὡραῖος,
ἄσπρον ἦτον τὸ στῆθος του μάρμαρον ὥσπερ κρύον, (F. 2 *b*.)
καὶ εἰς ἁρμελοτόπλασιν ἓν ἦσαν καὶ οἱ δύο.
Ἐπεὶ τῆς τύχης μανικόν, τῆς κακοδαίμου μοίρας,

12. μυριοκαταφρονήτο, il y a quelque chose après l'o, mais je ne suis pas certain que ce soit un ν. — 14. ἀπέφευγεν, je préfère adopter l'aoriste, les autres verbes étant à ce temps. — 15. χρυσάτζας. Le manuscrit donne tantôt χρυσάτζα et tantôt χρυσάντζα. J'ai cru bon de conserver l'une et l'autre leçon. — 21. τῆς κόρης τῆς χρυσάτζας. — 22. θύγατηρ (*ms.*) Peut-être θυγατρί. ἀντιόχου, que l'on pourrait peut-être conserver. — 26. χῶρον.— 37. ἐπεὶ δὲ τῆς.

ὑπὸ πατρὸς ἐθλίβετον, μυριοκαταφρονᾶτον·
καὶ τότε γοῦν ἠθέλησε εἰς τὸ ν'ἀποδημήσῃ,
μακρὰ που νὰ ξενιτευθῇ, ὅπου τὸν πάρ' ἡ τύχη,
ξένην ὁδὸν ἐζήτησε πατρὶ τῷ βασιλεῖ του·
εἶπε δὲ τοίνυν πρὸς αὐτὸν ὁ βασιλεὺς τοιαῦτα·
« Βέλθανδρε, ἂν σὺ τῆς χώρας μου θέλῃς νὰ γένῃς ξένος,
ἀνάθεμά μοι, Βέλθανδρε, ἂν ἐγὼ σὲ κρατήσω. »
Εὐθὺς ἀπεχαιρέτησε τὸν βασιλέα τότε,
ξεβαίνει, καὶ τὸν Φλαρμον εὑρίσκει τον νὰ στέκῃ,
σφικτὰ περιλαμβάνει τον, γλυκεὰ καταφιλεῖ τον
καὶ λέγει τον τὸ μανικὸν τῆς κακοδαίμου τύχης·
« ξενίζομαι ὁ δυστυχὴς ἀδελφικοῦ σου σπλάγχνους. »
Τότε πάλιν ὁ Φλαρμος κρατεῖ, καταφιλεῖ τον, (F. 3 *a*.)
λέγει τον· « ἂν σὲ ἔθλιψεν πολλάκις ὁ πατήρ μας,
δύναμ' ἐγὼ τὸ σήμερον τὸ σπλάγχνος νὰ τὸν φέρω,
εἰ δ' ἀπ' ἐμοῦ κακώσεως τίποτι κέντρον ἔχεις,
ἐκδίδω σε τὸ σῶμα μου, ὅλον τὸν ἑαυτόν μου,
σφάττε, τυράννησον κακῶς, καὶ ἀντικάκωσέ με·
οὐ δύναμαι, ὦ Βέλθανδρε, τὴν ξενιτειάν σου ἀκοῦσαι,
κἂν θάνατος μὲ πρόκειται, ὕβρεις κἂν ἀτιμίας·
κἂν δὲ καὶ τὸ βασίλειον, κἂν δὲ καὶ αὐθεντείας,
κἂν καὶ αὐτό, ὃ λέγομεν, τὸ φυσικό μας στέμμα
νὰ καταλείψω καὶ εἰς οὐδὲν παρέξω τοῦτο θήσω,
καὶ μετὰ σοῦ νὰ ξενωθῶ, καὶ μετὰ σοῦ νὰ ἔλθω,
εἰς χώρας ξένας ἐθνικὰς ποδοχωροβατήσω,
συναποθάνω μετὰ σοῦ καὶ εἰς ᾅδην συγκαταίβω
μόνον καὶ γὰρ τὴν βλέπησιν τὴν ἰδικήν σου ἂς ἔχω. » (F. 3 *b*.)
Εἶπε πολλὰ ὁ Φλαρμος ὡς ἵνα τὸν ἑλκύσῃ,
ἀλλά γε τούτου τὴν βουλὴν οὐκ ἠδυνήθην κόψαι·
ὡς δ' εἶχεν ἀπαραίτητον τῆς ξενιτειᾶς τὴν στράτα,
τοῦτον οὐκ εἴλκυσαν ποσῶς τοῦ ἀδελφοῦ του οἱ λόγοι,
τοῦ λογισμοῦ του τὴν βουλὴν νὰ τὴν παρασαλεύσουν,

38. ἐμυριοκαταφρονάτον. — 61. σέθλιψεν.

ὅτι ἂν φθάσῃ λογισμὸς νὰ γεννηθῇ πολλάκις,
οὐ δύναται ἀπὸ συμβουλῆς τινὸς τοῦ κωλυθῆναι.
Μετὰ δὲ τὴν συμπλήρωσιν τούτων τῶν πάντων λόγων,
περιλαμβάνουν σπλαχνικά, ἀδελφικῶς φιλοῦσιν,
κλαίουν οἱ δύο, κλαίουσιν τὴν ἀπωχωρισιάν των·
πλὴν τὴν καρδιοφλόγησιν, ἣν ὁ Φίλαρμος εἶχε
'ς τὸ μίσσευμα τοῦ ἀδελφοῦ οὐκ ἠμπορεῖ βαστάζειν,
καὶ ἐκ τοῦ πόνου τοῦ πολλοῦ λιγοθυμᾷ καὶ πίπτει,
σκύπτει, κρατεῖ τὸν ἀδελφόν, μυριοκαταφιλεῖ τον·
μετὰ δὲ τὰ φιλήματα, ζώνεται τὸ σπαθίν του, (F. 4 *a*.)
ὑπῆγεν καὶ τὸν Φίλαρμον ἀναίσθητον ἀφῆκεν,
καὶ μετὰ τριὰ παιδόπουλα καβαλλικεύει μόνος,
καὶ τῆς ξενώσεως τὴν ὁδὸν ἤρξαντο νὰ παγαίνουν.
Τότε πάλιν τὸν Φίλαρμον, τὸν κάλλιστον τὸν νέον,
ῥοδόσταγμα τὸν βρέχουσι, διὰ νὰ συμφέρῃ ὁ νοῦς του,
καί, ἁπλὴν ἐσύμφερε τὸν νοῦν καὶ ὅλον τὸν λογισμόν του,
ἀναζητᾷ τὸν ἀδελφόν, τὸν Βέλθανδρον φωνάζει.
Ἐκεῖνος, ὁποῦ πρόθυμος ἦτον διὰ νὰ φεύγῃ,
δι' ὅλου οὐκ ἐφαίνετο ἐκ τῆς ἱππηλασίας.
Ὁ Φίλαρμος σπουδαίως γὰρ φθάνει πρὸς τὸ παλάτιν,
ηὕρηκε τὸν πατέρα του, τοιάδε τὸν ἐλάλει·
« διὰ τὸν Βέλθανδρον, φησί, γίνωσκε, δέσποτά μου,
πολλὴν πολλὴν κατάκρισιν ἀπὸ παντὸς ἀνθρώπου
θέλεις λαβεῖν, ὦ βασιλεῦ, καὶ ψόγον οὐκ ὀλίγον, (F. 4 *b*.)
διότι μέγαν ἄδικον τὴν σήμερον εἰργάσω·
γύρευσε δέ, ἀνιστόρησε καὶ λάβε κατὰ νοῦ σου,
ὁ ἀδελφός μου Βέλθανδρος ἂν 'ς ἐθνικὸν τοπάρχην
πάγει καὶ ὑπόδουλος γραφῇ, γένηται ἰδικός του,
καὶ ἴδῃ ἄνδρα εὔμορφον, στρατιώτην ὡραιωμένον,
πανεπιτήδειον καὶ καλόν, πάνυ ἀνδρειωμένον,
καὶ κυνηγὸν πανάριστον, πανευτυχὴν δεξιώτην,
τοῦτο οὐ ψεύδομαι ποσῶς, μὰ τὴν ὑστέρησίν μας,

80. ἀναίσθητον τον. — 83. καὶ τότε. — 91. τοῦ βελθάνδρου. — 96. ἐὰν εἰς. — 97. ὑπάγει.

ὅλος ὁ κόσμος ἴσον του οὐκ ἔχει ἀνδρειωμένον.
Εἰ γὰρ συμβῇ καὶ πόλεμος πολλάκις νὰ συγκρούγῃ,
νὰ διώκῃ κ' ἀπελάσῃ σε, ὡς μέγας ἀπελάτης,
καὶ νικητὴς ν' ἀναφανῇ καὶ μέγας τροπαιοῦχος,
τί νὰ εἰπῇ ὁ κατ' ἀρχὰς αὐθέντης τοῦ Βελθάνδρου;
καὶ λάβε ταῦτα κατὰ νοῦν, μόνος σου ἀπείκασέ τα. » (F. 5 *a*.)
Εἶπε πολλὰ ὁ Φλαρμος μαλακωτέρους λόγους
πρὸς τὸν σκληρὸν καὶ ἄσπλαγχνον πατέρα του ἐκεῖνον·
μόλις ποτὲ σύνῆφερε τὴν γνώμην εἰς τὸ κρεῖττον,
καὶ πρὸς αὐτοὺς ἐστράφηκε καὶ τοὺς ἰδιούς του λέγει,
καὶ ὁρίζει εἰκοσιτέσσαρας στρατιώτας συγγενεῖς του·
λέγει των· « τὰ φαρία σας στρώσετέ τα οἱ πάντες,
καβαλλικεύσατε γοργόν, φθάσατε τὸν υἱόν μου,
καὶ ἂν [τύχῃ καὶ] τὸν φθάσετε, πρῶτον συντύχετέ τον·
εἰπῆτε τον μὲ τὸ καλὸν ἂν θέλῃ νὰ γυρίσῃ,
εἰ δ' ἴσως ἀμετάτρεπτον ἴδητε τὴν βουλήν του,
καὶ [ἂν] αὐτοπροαίρετος οὐ θέλῃ νὰ γυρίσῃ,
ἐπάρετέ τον πεταστόν, γοργογυρίσετέ τον. »
Εὐθὺς ἐκαβαλλίκευσαν, ἐξέβησαν οἱ πάντες,
καὶ τρέχουσι μετὰ σπουδῆς κ' εἰς ὥρα φθάνουσίν τον·
ηὗρηκε δὲ ὁ Βέλθανδρος τόπον χαριτωμένον, (F. 5 *b*.)
ἐπέζευσε καὶ κάθισε μὲ τὰ παιδόπουλά του·
ἦτον ἡ νύκτα ὁλόφεγγος, χαριτωμένη νύκτα,
καὶ βρύσι καταρρέουσα, χλωρὸ λειβαδοτόπι,
καὶ θέτει τὴν κατοῦνα του μόνος ἐκεῖ καὶ πίπτει,
καὶ μουσικὴν καθήμενος ἐκράτει κ' ἔπαιζέν την,
καὶ μυριολόγιν ἔλεγε στεναγμογεμισμένον·
« ὄρη καὶ κάμποι καὶ βουνά, λαγκάδια καὶ νάπαι,
κἀμὲν νῦν συνθρηνήσατε τὸν κακομοιρασμένον,
ὁποῦ, διὰ μῖσος ἄπειρον καὶ ψόγον οὐκ ὀλίγον,
σήμερον τῆς πατρίδος μου καὶ τῆς πολλῆς μου δόξης

104. διώκῃ ἀγέλας τε (*corr. Wagner*). — 106. κατἀρχᾶς, et un ρ dans l'interligne entre le κ et l'α. — 116. εἰπεῖτε. — 118. αὐτοπροαιρέτως. — 125. χωρολιβαδοτόποι (*corr. Sathas*).

χωρίζομαι, ὁ δυστυχής, καὶ 'δὲ μυστήριον ξένον ! »
Καὶ πάραυτα ἐπέζευσαν κἀκεῖνοι οἱ στρατιῶται,
καὶ πρὸς αὐτὸν ἐνέφηναν μαλακωτέρους λόγους· (F. 6 *a*.)
« βέβαιον τώρα, Βέλθανδρε, τὸ ἀδελφικό σου σπλάγχνος
ἠρνήσω καὶ ἐκράτησας τῆς ξενιτειᾶς τὴν στράταν;
βέβαιον τὴν συντροφίαν μας τῶν ἰδικῶν ἀρνεῖσαι,
βέβαιον καὶ τοὺς φίλους σου καὶ ὅλους τοὺς γνωστούς σου
ἠρνήσω καὶ ἠθέλησας εἰς τὸ νὰ γένῃς ξένος;
ἠρνήσω καὶ τοὺς συγγενοὺς καὶ γονικήν σου χώραν,
καὶ ἄλλας, ἃς οὐκ ἐπίστασαι, τὰς χώρας νὰ γυρεύῃς;
Τιμὴν ἔχεις βασιλικὴν νὰ ζῇς ὥσπερ αὐθέντης,
καὶ προσκυνεῖσαι ὑπὸ παντῶν μικρῶν τε καὶ μεγάλων·
καὶ τώρα, πόθε, μέχρι ποῦ, καὶ ποῦ πορεύῃ φράσον·
δοῦλος γὰρ θέλεις νὰ γενῇς πρὸς βασιλεῖς τοὺς ἄλλους,
βέβαιον, πορφυρόβλαστε, γέννημα τῶν χαρίτων,
πάντως ἀρνεῖσαι συγγενεῖς, ἀρνεῖσαι συντροφιάν μας, (F. 6 *b*.)
καὶ στέμμα καὶ διάδημα καὶ βασιλειὰν καὶ τ' ἄλλα;
βέβαιον, ἀκαταδούλωτε, νὰ δουλωθῇς προκρίνεις,
καὶ τὴν ξενίαν ἀγαπᾷς τὴν πολυωνειδισμένην,
τὴν μοχθηρὰν καὶ τὴν κακὴν καὶ τὴν κινδυνεμμένην·
ἡμεῖς πρὸς ὃν γνωρίζομεν τὴν ἰδικήν σου γνῶσιν,
πάντως καὶ ἀπιστοῦμεν το ὅτι ποιεῖς τὸ τοῦτο,
καὶ ἄλλαξον τὸ δύσπιστον καὶ δεῦτε ἃς στραφῶμεν. »
Ταῦτα καὶ ἄλλα πλείονα εἶπον οἱ στρατιῶται
πρὸς τὸν καλὸν καὶ εὔμορφον Βέλθανδρον τὸν ἀνδρεῖον,
ποσῶς οὐκ ἐμετέστρεψαν κἂν ὅλως τὸν σκοπόν του.
Εἰς γοῦν τὸ λιβαδότοπον ἐν τῇ νυκτὶ ἐκείνῃ
ἔμειναν πάντες μετ' αὐτὸν τριγύρου κ' ἔβλεπάν τον·
ὅταν γὰρ 'ς τ' ἄκρα τῶν βουνῶν καὶ εἰς τὰς κορφὰς τῶν δένδρων
ἡ αὐγὴ ἐμπροπήδησεν ἀπὸ τὰς ἀκρωρείας,
σηκόνουνται καὶ λέγουν τον· « ἐγείρου, δέσποτά μου, (F. 7 *a*.)
ἵν' ἀποσώσωμεν γοργόν, μὴ θλίβετ' ἀδελφός σου. »

138. τῆς συντροφίας. — 141. γονικῆς. χώρας.— 145. πόθε καὶ. — 148. συντροφίας. — 160. καὶ. — 161. εἰς τὰ. καὶ εἰς. κορυφάς. — 164. ν'ἀποσ.

Σηκόνεται, ᾽ποδήνεται, ζώνεται τὸ σπαθίν του,
πηδᾷ καὶ καβαλλίκευσε μὲ τῆς ἀνδρειᾶς τὸ σχῆμα·
καὶ λέγει τους ὁ Βέλθανδρος· « ἄρχοντες ἰδικοί μου,
ἰδοὺ ἀποχαιρετίζω σας καὶ εὔξασθέ μοι [τώρα],
καὶ τῆς ξενώσεως τὴν ὁδὸν ἰδοὺ νὰ ὑπαγαίνω. »
Καὶ εἷς ἀπὸ τοὺς ἄρχοντας οὕτως τὸν συντυχαίνει·
« Βέλθανδρε, στέμματος παιδί, καὶ σκήπτρου κληρονόμε,
τὸ εἰς ἐσὲν ἐσέβασεν ὁ πονηρός σου δαίμων,
ἡμεῖς παρακαλοῦμεν σε διὰ νὰ τὸ καταλείψῃς,
καὶ νὰ προκρίνῃς τὸ καλὸ καὶ κεῖνο νὰ ποιήσῃς·
πρόσεξε δέ, ἀνιστόρησε καὶ λάβε κατὰ νοῦ σου,
ἐὰν εἰς αἷμα ἐθνικὸν ὑπάγῃς καὶ ἀποσώσῃς,
καὶ ποίσῃς τὰς δουλείας του καὶ ἀπὸ ταύτας εὕρῃς
πληρώματα τῶν δεουσῶν, τιμάς, δόξας καὶ πλούτη· (F. 7 *b*.)
μὴ γοῦν ἄλλο προτιμηθῇς, τὴν δούλωσιν προκρίνου,
ἐπεὶ δὲ σὺ ἐλεύθερος, ἀδούλωτος ὑπάρχεις,
μᾶλλον καὶ ἄνακτος παιδὶ καὶ βασιλέως τέκνον,
καὶ χρὴ νὰ σὲ δουλεύουσιν, οὐχὶ τοῦ νὰ δουλεύσῃς,
οὐκ οἶδα τί σοι λογισμοὶ καὶ τί σοι ἐπινοίαις,
ἔα λοιπὸν τὰ περιττά, καὶ δεῦτε ἂς στραφῶμεν. »
Ἀκούων ταῦτα Βέλθανδρος οὕτως ἀπηλογήθην·
« πρὸς τὰς πικρίας τὰς πολλάς, ἂς ἔχω ἐκ τοῦ πατρός μου,
ἡ ξενιτεία μου δ᾽ αὐτὴ τὰς πάσας ἀπαλείψει. »
Πάλιν ἀπηλογήθην τον ἐκεῖνος λέγων οὕτως·
« ἡμᾶς δέξου ἐγγυητὰς θλίψι ποτὲ μὴ εὕρῃς,
ἀλλ᾽ οὐδὲ θλιβερὸν ποτὲ ἀπὸ τοῦ νῦν νὰ πάθῃς,
ἀλλὰ μὲ τὸν πατέρα σου νὰ ποίσωμεν νὰ σ᾽ ἔχῃ
ὥσπερ ἠγαπημένον του καὶ γνήσιον τεκνίον·
ἡμεῖς καὶ τί τὸ κρύβομεν καὶ οὐδὲν σὲ τὸ λαλοῦμεν;
τοῦτο πληροφορήθητι καὶ λάβε κατὰ νοῦ σου, (F. 8 *a*.)
εἰ μὲν καὶ μὲ τὸ θέλημα καὶ τὴν προαίρεσίν σου

168. ἀποχαιρετίζῶ, ὑμᾶς (*correct. de Wagner, qui a aussi ajouté et supplée* τώρα). Voyez aussi le vers 213 de ce poëme. — 177. το δουλίας. ταύτης εὕροις. — 187. τὰς πάντας. — 194. πληροφορήθητο.

θέλεις γυρίσειν καὶ στραφῆν, παυόμεθα τοῦ λέγειν,
εἰ δ' ἴσως ὀπισωπατεῖς, οὐ θέλεις ν'ἀκλουθήσῃς,
ἐπαίρνομέν σε πεταστόν, γοργογυρίζομέν σε,
καὶ ὁ πατήρ σου ὁ βασιλεὺς τοῦτο καὶ γὰρ μᾶς εἶπεν. »
Γοργὸν ἀπηλογήσατο ὁ Βέλθανδρος ἐκείνους·
« ἄρχοντες, τοῦτο γνώσατε πάντες, πιστεύσατέ μοι,
ὅτι ἡ συγγενίδες μου, γυναῖκες ἰδικαῖς σας,
ὅτι τιμὴν ἠλπίζασιν ἴν' εὕρουν ἀπ' ἐμένα·
βούλεσθε χήραις σήμερον ὅλαις νὰ ταῖς ποιήσω; »
Ὡς εἶδασιν ἀγύριστον παντελῶς τὸν σκοπόν του,
οἱ στρατιῶται πάραυτα ὥρμησαν νὰ τὸν πιάσουν,
καὶ σύντομα ὁ Βέλθανδρος σύρει τὸ ἀπελατίκι,
καὶ εἰς τὸ μέγα τὸ ἄπειρον ἐφόνευσε τοὺς δέκα·
ἐφώναξε καὶ λέγει τους· « πταίστης ἐγὼ οὐκ εἶμαι,
ὑμεῖς μὲν ἐποιήσατε τὸ φονικὸν ἐτοῦτο,
ἀμμὴ ἐγώ, εἰ ἤθελον, ἀπέφευγά σας τώρα·
εἴπατε τὸν πατέρα μου ὅσα ἔπαθεν ὁ χορὸς τῶν ἀρχόντων·
καὶ ἰδοὺ ἀποχαιρετῶ ὑμᾶς καὶ εὔξασθέ μοι, (F. 8 *b*.)
καὶ τῆς ξενώσεως τὴν ὁδὸν ἰδοὺ νὰ ὑπαγαίνω. »
καὶ τὸ λοιπὸν ἐδάδισεν τῆς ξενιτειᾶς τὸν δρόμον,
χώρας πολλὰς ἐγύρισε καὶ τοπαρχιὰς καὶ κάστρα·
τόπος αὐτὸν οὐκ ἤρεσεν τὸ νὰ προσκαρτερήσῃ·
τὰ μέρη τῆς ἀνατολῆς γυρεύει καὶ Τουρκίας,
ἐγύρισεν, ἐδίωξε τοὺς τόπους καὶ τὰ κάστρα.
Εἰς κάμπον κλεισουρότοπον, εἰς διάβαν τουρκοβούνου,
λῃσταὶ τὸ ἐδιαυθέντευαν μετὰ μεγάλης τόλμης,
καὶ ὡς τὸν εἶδαν οἱ λῃσταί, ἐκατεσκόπησάν τον
ἁρματωμένον, εὔμορφον καὶ λαμπροφορεμένον,
καὶ μὲ τὰ τριὰ παιδόπουλα μόνα κατόπισθέν του·
εἶπαν· « ἂς τὸν ἀφήσωμεν νὰ ἔμπῃ εἰς τὴν κλεισοῦρα,
καὶ ἀφ' οὗ δ' ἐμπῇ καὶ χωρεθῇ ἀπέσω εἰς τὴν κλεισοῦρα,
χειροπιαστὸς εἰς χεῖρας μας νὰ πέσῃ, ὡς οὐ θέλει. »

200. ἀπηλογήσατ'. — 208. εἰς et un τ' sur l'ι. — 212. Vers hypermètre (de cinq syllabes). — 213. ἀποχαιρετίζω.

Ἀφῆκαν τον, ἐσέβηκεν, ἦλθε, προσεχωρήθη·
καὶ ὅταν μικρὸν ἐσέβηκεν, εὐθὺς κατάπεσάν τον,
καὶ εἰς τὸ μέγα, τὸ ἄπειρον ἐκεῖνο τὸ φουσσάτον (F. 9 *a*.)
ἀπελατίκιν ἔσυρεν, τοῦτο οὐ ψεύδομαί το,
καὶ εἰς τὸ ὑποβρύχιον γεγόνασιν οἱ πάντες.
Ὡς οὖν γε γὰρ συνήλθοσαν σύνορα τῆς Τουρκίας,
καθόλου καὶ ἐσέβησαν πλησίον Ἀρμενίας
καὶ μετὰ πάντων ἔφθασεν εἰς τῆς Ταρσοῦ τὸ κάστρον·
ἐν ᾧ δ' ἐκεῖ περιέτρεχε μὲ τὰ παιδόπουλά του,
ηὕρηκεν μικροπόταμον καὶ εἰς τὸ νερόν του μέσον
νὰ εἶπες οὐρανόδρομον ἀστέρα ἔχει ἔσω,
καὶ κεῖται μέσον τοῦ νεροῦ καὶ μετ' ἐκεῖνο τρέχει·
Ἔπιασε τὸ ἀναπόταμον ἐκεῖνος καὶ γυρεύει,
τὴν κεφαλὴν τοῦ ποταμοῦ ἐπεθυμεῖ γνωρίσαι,
τὴν φλόγα μέσον τοῦ νεροῦ πόθεν καὶ κεῖνον τρέχει·
καὶ δέκα περιεπάτησεν ἡμέρας ὁλοκλήρους,
καὶ τότε κάστρον ηὕρηκε μέγα πολὺν τὴν θέαν,
ἐξ σαρδωνύχου λαξευτοῦ κτισμένον μετὰ τέχνης·
ἐπάνω δὲ τοῦ κτίσματος τοῦ λαμπροτάτου ἐκείνου (F. 9 *b*.)
ἀντιπυργοβολήματα ἦσαν συντεθειμένα,
λέων, δρακόντων κεφαλαὶ ἀπὸ χρυσῶν ποικίλων·
τεχνίτης τὸ κατεσκεύασεν ἀπὸ πολλῆς σοφίας,
ἐκ δὲ τὸ στόμα τῶν αὐτῶν, ἂν ἔβλεψες, νὰ εἶδες
πῶς συριγμὸς ἐξήρχετο φρικτώδης, ἀγριώδης,
νὰ εἶπες ὅτι κίνησιν ἔχουσιν ὥσπερ ζῶντα,
καὶ νὰ λαλοῦν ἀμφότερα καὶ νὰ φωνολογοῦσιν·
Ἀφ' οὗ τὸ φλογοπόταμον ἐξήρχετο ἐκεῖνο,
ἦλθε καὶ ἐκατέλαβε τοῦ κάστρου τε τὰς πόρτας,
καὶ πόρταν ηὕρηκεν λαμπρὰν ἐξ ἀδαμάντου λίθου·
εἰς μέσον δὲ ἐτήρησε γράμματα κεκομμένα,
ἔλεγον δὲ τὰ γράμματα τὰ λαξευτομημένα·
« τὸν οὐκ ἐφθάσαν τὰ ποτὲ τὰ βέλη τῶν ἐρώτων,

229. ἐκατακίσασιν τον. — 236. ἐνὸς ἐκεῖ. — 245. ἐξαρδονίχου. — 248. Peut-être λεόντων, ou λεοδρακόντων.

μυριοχιλιοκατάρδοτον εὐθὺς νὰ τὸν ποιήσουν,
ὅστις τὸ Ἐρωτόκαστρον ἀπέσω νὰ τὸ ἴδῃ. » (F. 10 *a*.)
Ἀνέγνωσε τὰ γράμματα, ὥραν πολλὴν ἐστάθην,
σύννους, συστρέφων κατὰ νοῦν τί πρᾶξαι, τί ποιῆσαι·
« ἐὰν κινήσω καὶ ἀναβῶ, ποδοχωροβατήσω,
καὶ πῶς τὸ ἐπιφώνημα τὸ ὃ ἔχει ἡ πόρτα,
ὁποῦ κἂν ὅλως τὸ πτερὸν οὐκ εἶδα τῶν ἐρώτων;
Καὶ πῶς ὀπίσω νὰ στραφῶ καὶ οὐ μὴ ἴδω τὴν φλόγα,
τὸ πυροφλογοπόταμον, τὸ φλογερὸν ἐτοῦτο,
γυρεύω καὶ περιπατῶ, ἔχω τώρα δέκα ἡμέρας;
τοῦ ποταμοῦ τὴν κεφαλὴν ἐπεθυμῶ γνωρίσαι,
καὶ πῶς μέσον τοῦ ποταμοῦ φλόξ πύρινος εἰστρέχει·
λοιπόν, μὰ τὴν ἀλήθειαν, τοῦτο προκρίνω πλέον
κρεῖττον γὰρ ἵνα γένωμαι τῶν πετεινῶν γε βρῶμα,
παρ' ὅτι πάλιν νὰ στραφῶ τοῦ ποταμοῦ ἐξοπίσω. »
Καὶ παρευθὺς ἐπρόσταξεν τὰ τριὰ παιδόπουλά του,
καὶ λέγει των· « πεζεύσατε, ἀκαρτερήσατέ με·
καὶ ὅσας ὥρας [ἂν] ἀργῶ, ὅσας καὶ ἂν ποιήσω, (F. 10 *b*.)
κἂν ὅλην αὐτὴν ἔσωθε πληρώσω τὴν ἡμέραν,
κἂν καὶ τὴν ἄλλην πούπετι πληρώσω, καὶ τὴν ἄλλην,
ὧδε μὲ περιμείνατε, προσκαρτερήσατέ με,
μὴ ἐμβῆτε εἰς τὸ Ἐρωτόκαστρον, ἐπιφωνοῦμαι σάς το. »
Καὶ πάραυτα ἐσέβηκεν ὁ Βέλθανδρος καὶ μόνος,
εἶδεν ἀπέδω καὶ ἀπεκεῖ τοῦ ποταμοῦ τὰ μέρη,
διάφορα καὶ ποίκιλα μετὰ λευκῶν κλημάτων,
ἄνθη ναρκισσοκόκκινα, τὰ δένδρη διαστρωμένα.
Ἄνωθεν βλέμμαν ἔρριψεν ὡς πρὸς τὰ δένδρη τάχα,
καὶ δένδρων εἶδε καλλονὴν καὶ ἰσότητα εὐμόρφην,
καὶ τὴν κορμοανάβασιν εὐκολωτάτην πάνυ,
ὅτι νὰ εἶπες ἐκ παντὸς ὅτι ῥουκανοτέκτων
ἐρρουκανοετούρνευσεν, σταθμήσας ἔπηξέν τα,

268. πυροφλοπόταμον (*sic*). — 271. πύρινος (et non πυρινός) est la leçon du manuscrit. τρέχει. — 285. τ'ἀρχυσοκόκκινα. La correction a été faite par Mavrophrydis et proposée par Ellissen.

καὶ τοῦ ἀνθοφύλλου ὁ πλασμὸς πολλὰ ὡραιωμένος·
εἶδε, παρεξενώθην τα, ὑπερεθαύμασέν τα·
τὸ δέ γε ἀναπόταμον κρατεῖ πάντα κατ' ὄχθας, (F. 11 *a*.)
τὸ ἐπεθύμει νὰ ἰδῇ τὸ φλογερὸν ἐκεῖνο.
Καὶ τότε βρύσιν ηὕρηκεν παράξενον ὁκάτι,
ψυχρόν, χιονοκρύσταλλον ὕδωρ εἶχεν ἡ βρύσι·
φράσαι κἂν ὅλως ἀπορῶ τὴν καλλονὴν τὴν τόσην,
ἣν εἶχεν ὑπεράπειρον ἡ τῶν ἐρώτων βρύσι.
Ἵστατο γρύψος λαξευτός, ἐξήπλονε πτερά του,
τὴν ῥάχιν πρὸς ἰσότηταν ἔφερνε τῶν πτερῶν του,
καὶ τὴν οὐρὰν ἐγύριζεν ὡς πρὸς τὴν κεφαλήν του,
τοῖς δὲ ποσὶ τοῖς ἔμπροσθεν ἐβάσταζε λεκάνη,
στρογγυλολαξευτόμορφον ἀπὸ πελέκυν λίθον·
τὸ δὲ νερὸν ἐκ στόματος ἐξήρχετο τοῦ γρύψου,
καὶ εἰς τὸ λεκανοπέτρινον εἰσήρχετον ἀπέσω,
τοῦ μὴ σταλάξαι σταλαγμὸν κάτω πρὸς γῆν ὀλίγον.
Ὅραν ἐστάθην περισσὴν ὁ Βέλθανδρος προσέχων
τοῦ γρύψου τὴν κατασκευὴν καὶ τοῦ νεροῦ τὸ ξένον·
πῶς δὲ τὸ ἐξερχόμενον ἐκ στόματος τοῦ γρύψου (F. 11 *b*.
χωρεῖται εἰς μικρολέκανον παντοῦ μὴ ἔχον πόρον,
ἢ [καὶ] τινὰ κατατροπὴν εἰς τὸ νερὸν ἐκστάζειν·
καὶ πάλιν πῶς ἐκ τῶν χειλῶν ἐκρέει τῆς λεκάνης,
τοῦ ὕδατος τὴν ἐκροὴν ἐθαύμαζεν ἐκεῖνος.
Ἐξαίφνης κατεπάτησεν ὁ γρύψος ἐκ τοῦ τόπου,
ἀντίπερα τοῦ ποταμοῦ ἀπῆγε καὶ ἐστάθην·
εἶδε παρεξενώθηκεν ὁ Βέλθανδρος ἐκεῖσε
καὶ πάλιν τὸ ἀναπόταμον τὸ φλογερὸν ἐκεῖνο·
καλῶς περιεπάτειε κατασκοπῶν τὰ πάντα,
καὶ τόπον περιέδραμεν πανεπιτήδειον πάνυ·
εἶδε παλάτια φοβερά, τὰ οὐ δύναμαι ἀφηγεῖσθαι
κατὰ λεπτὸν τὰς χάριτας τῶν παλατιῶν ἐκείνων.
Ἐπεὶ δὲ τὸ Ἐρωτόκαστρον ἀπέξω ἦτον κτισμένον

299. πτερῶν. — 303. λίθου. — 311. ἐκστάζων (confusion de l'ω avec la diphthongue ει).

ἐκ σαρδωνύχου λαξευτοῦ, ἀπείκασε τὸ ἀπέσω,
ἐς ὅσον κατασκεύασμα τῶν πραιτωριῶν ἐκείνων·
ζώδιον εἶδεν εὔμορφον ἔμπροσθε τοῦ τρικλίνου,
τίτοιον πολλὰ παράξενον, ὡραῖον, παμμεγέθην, (F. 12 *a*.)
ἀφ' οὗ καὶ τὸ ποτάμιον ἐξήρχετο ἐκεῖνο.
Ἦτον τὸ τρικλινόκτισμα ἀπὸ ζαφείρου λίθων,
λίθων μεγάλων καὶ λαμπρῶν, τεχνολατομημένων·
τὸ στέγος δὲ τοῦ κτίσματος τίς νὰ τὸ ἀφηγῆται;
πολὺς ἦτον καλλωπισμὸς τὸ τρίτον τοῦ τρικλίνου·
συνηρμοσμένα τεχνικῶς καὶ κατασκευασμένα
τρία λιθάρια θαυμαστά, ἐξαίρετα, μεγάλα,
ἐσκέπαζαν, ἃ εἴπομεν, τὸ τρίτον τοῦ τρικλίνου
φῶτα καὶ φῶς λαμπρόμορφον αὐγὰς παρέχων ἔσω·
ὁ δ' ἔσω πάτος κόκκινος, σεληνοδεβαμμένος.
Ἰδὼν ταῦτα ὁ Βέλθανδρος ὑπερεθαύμασέν τα,
ἐμβλέπων ὡς κατάσκοπος τὰς χάριτας τοῦ τοίχου·
ἔβλεπεν ζώδια περισσὰ ποικιλολαξευμένα,
τὸ μὲν ὡς σχῆμα γυναικὸς τραχηλοδεσμωμένον,
κ' ἐρωτοσύρτην τύραννον τὰ ζώδια νὰ σύρνῃ· (F. 12 *b*.)
ἄλλον πάλιν ὡς ἄνανδρον ποδοσιδηρωμένον,
ἔρωταν δήμιον στέκοντα ἔχον κατόπισθέν του·
ἄλλος εἰς χέριν ἵστατο ἄνωθε τῶν ἐρώτων,
ὡς γνήσιος φίλος καρτερῶν τοῦ ἔρωτος ἀγάπην·
ἄλλοι κατατοξεύουσιν νὰ δείχνουν τυραννοῦντες·
ἦσαν τὰ πάντα λαξευτὰ ὥσπερ νὰ ἐκινοῦνταν·
καὶ τὰ μὲν ἔμπροσθε ἤρχοντο, τὰ δ' ἄλλα ἐξοπίσω,
τὰ δ' ἄλλα ἦσαν ἔνδετα πρὸς τῶν δημιῶν τὰς χεῖρας,
ἐξ ὀφθαλμῶν τοῦ σώματος ἐχύνασιν τὰ δάκρυα,
ἐκ δὲ τοῦ στόματος αὐτῶν στενοχωροπηδοῦντες.
Τὰ δὲ ἐπὶ τὰ ἄνωθεν εἰς χεῖρας τῶν ἐρώτων,
νὰ εἶπες χαχατουρίζουσι, συχνοπυκνογελοῦσιν.

323. ἐξαρδονίχου. — 334. ἐσκέπαζεν. — 341. καὶ. — 348. ἔμπροσθεν. — 349. ἦσαν δὲ πρὸς τῶν. — 351. στενοχοροπεδοῦντες. Il serait peut-être préférable d'écrire στενοχοροπηδοῦντες.

Καὶ εἰς τὸ καθένα ηὕρισκε γράμματα γεγραμμένα·
ὁ μὲν τοῦ δεῖνος τε ῥηγὸς ἔγραφε θυγατέρα,
ὁ δὲ καὶ παλιν ἔγραφε τοῦ βασιλεῶς τοῦ δεῖνος
τὶς εὐγενὴς ῥωμογενὴς πάσχει, δι' αὐτὸ ἠρνήθην
γῆν τὴν αὐτοῦ καὶ τὰ λαμπρὰ καὶ τὸ κενόδοξόν του, (F. 13*a*.)
καὶ ὅπου ἡ ἐρωτόπλασις τὸν σύρνει νὰ παγαίνῃ,
ὅπου ὁ ἔρωτας αὐτοῦ ἐδουλογράφησέν τον·
ἄλλην δὲ πάλιν ἔγραφεν ἀρχόντισσαν γυναῖκα,
τὴν αἴσθησιν ἂν ἔκρυψεν, ἐπαίδευσεν ἡ χάρις·
τὰ ἐρωτικὰ στρατεύματα ποτὲ οὐ δούλευσέν τα·
καὶ ἄλλαις εἰς τὰς χεῖρας των μετὰ ἰχάδην ξένον,
κρατοῦν τὸν μεγαλώτερον τὸν πρῶτον τῶν ἐρώτων.
Ἰδὼν πάντα ὁ Βέλθανδρος ἀπ' ἄκρων ἕως ἄκρων,
τί ἄλλον ἀκριβέστερον ἐκείνου τοῦ τρικλίνου
εἶδεν, ἐκριβολόγησε, καὶ πῶς νὰ καταλέξω;
Ἐκεῖσε πρὸς τὴν κεφαλὴν ἐτήρησε, καὶ βλέπει
ζώδιον οὕτως λαξευτὸν ἐκ λίθου ζαφειρίνου,
ἀφ' οὗ τὸ φλογοπόταμον ἐξήρχετο ἐκεῖνο,
καὶ βλέμμα πανεξαίρετον, ἀλλά γε καὶ θλιμμένον.
Ἐκεῖ ταὼνι λαξευτὸν καθήμενον ἐπάνω,
ἐπακουμβίζον γόνατον πρὸς τῆς χειρός. . . . .
τῇ δὲ παλάμῃ τῆς χειρὸς καθήμενον ἐκράτει· (F. 13*b*.)
ἐντέχνως ἀνεστέναζεν, εἶχεν εἰς γῆν τὸ βλέμμα,
πολλὰ θλιμμένον καὶ δεινόν, περίλυπον νὰ στέκῃ·
καὶ ἔτρεχεν ἐξ ὀφθαλμῶν ἐκείνου τοῦ ζωδίου
ἡ βρύσι ἡ τοῦ ποταμοῦ τοῦ φλογεροῦ ἐκείνου·
ἔτι καὶ ἐκ τοῦ στόματος πλὴν τῆς φλογὸς καὶ μόνον
ἠγήσαντο οἱ στεναγμοὶ φλογώδεις ὡς πῦρ φλέγον.
Ἐντέχνως εἶχε λαξευτὰ γράμματα κεκομμένα,
ἔλεγον δὲ τὰ γράμματα, ἔφασκον δὲ τοιάδε·
« Βέλθανδρος, παῖς ὁ δεύτερος πατρὸς τοῦ Ῥοδοφίλου,
τοῦ καὶ κρατάρχου στέμματος πάσης τῆς γῆς Ῥωμαίων,

381. La leçon ἠγήσαντο ne me satisfait guère, ἠχήσαντο se comprendrait mieux. — 384. πατὴρ. — 385. τοῦ κεκρατάρχαν.

πάσχει διὰ πόθου στέμματος μεγάλης Ἀντιοχείας,
ῥηγὸς μεγάλου θύγατηρ Χρυσάντζας λεγομένης,
τῆς πανευμόρφου καὶ λαμπρᾶς καὶ πορφυρογεννήτου. »
Ἀνέγνωσε τὰ γράμματα, ἔπαθε πάθος μέγα,
πάθος ὑπέστη ποταπὸν ποσῶς οὐκ ἀπεικάζω·
ἱστάθην ὥρα περισσήν, κατασκοπῶν ἐκεῖσε, (F. 14 *a*.)
ἴστατο τοίνυν ἐννεός, μέγα θορυβημένος,
καὶ πάλιν ἔβλεπεν ἐκεῖ καὶ θώρει καὶ συντήρα·
συχνάκις τὰ ἀνέγνωθεν τὰ γράμματα ἐκεῖνα,
βλέποντα καὶ τὸ ζώδιον θλιμμένα νὰ ἱστέκῃ,
ἐσυνεθλίβετον καὶ αὐτὸς καὶ συμπονῶν ἐᾠκει,
καὶ συστενάζων μετ' αὐτοῦ καὶ συγκιρνῶν τοῦ πόθου,
τὸ δακρυβρυσοπόταμον ἔμμιξε δάκρυά του·
καὶ διάβην ὥρα περισσὴν ὥστε νὰ τὸν περάσῃ
ὁ θρηνισμός, ὁ πικραμμός, ὃν εἶχεν ἐκ καρδίας.
Καὶ μόλις ἐσυνέφερε τὸν λογισμόν του τότε,
καὶ βλέμμαν ἔρριψεν ἐκεῖ μικρὸν εἰς ἄλλο μέρος·
ἐτήρησε τοὺς λαξευτοὺς καὶ τρανωτάτους λίθους,
καὶ ζῶον, σχῆμα ὡς ἀνδρὸς ἱστάμενον ἐκεῖσε,
φρικτὸν ἀπὸ τοῦ σχήματος, δεινὸν ἀπὸ τῆς θέας,
ἀχίτωσί τε καὶ γυμνὸν μέχρι καὶ ὀφαλοῦ τε.
Εἶδεν, ἐκατεσκόπησεν ἀκριβολογημένα (F. 14 *b*.)
τὸ ζώδιον τὸ θαυμαστὸν ἐκεῖνο τὸ ὡραῖον·
καὶ βλέπει βέλος κάθεται ἔσω κατὰ καρδίας,
σαϊττοερωτόξευτον ἐξ ἀέρος εἰσῆλθεν.
Ἐκ τῆς τομῆς τῆς καρδιακῆς ἐκείνης τοῦ ζωδίου
φλὸξ τοῦ πυρὸς ἐξήρχετο σύγκαπνος οὐκ ὀλίγος,

389. ἀντιόχου. — 392. ἐννεῶς. θορυμβημένος. — 394. ἐνάγνωθεν, que l'on pourrait peut-être admettre dans le texte. — 399. Le ν de περισσὴν est simplement euphonique. — 403. τῶν λαξευτῶν καὶ τρανωτάτων λίθων. — 406. ἀχιτοσίτε. Je craindrais, en corrigeant cet affreux solécisme, de faire dire à l'auteur mieux qu'il n'a voulu lui-même. — 409. να κάθεται. — 410. σαϊττοερωτόξευτον. Je ne corrige pas en σαϊττοερωτοτόξευτον, le grec littéral a des composés analogues; ainsi, pour en citer un exemple, ἐρωμανέω.

κ' ἐσμίγετο τοῖς δάκρυσι τοῦ λιθίνου ζωδίου·
καὶ γὰρ εὐκολοστάλακτος τῶν γυναικῶν ἡ φύσις
τὰ δάκρυα εἶχε πάντοτε συστεναγμῶν νὰ τρέχῃ,
ἅπερ ἡ φύσις τῶν ἀνδρῶν τὰ ὅπλα νὰ βαστάζῃ.
Τίς τὴν σατῖταν ἔρριψεν ἐπάνω τοῦ ζωδίου,
καὶ ποῖκεν καρδιοκοπετόν; οὐχὶ πόθος γυναίου;
Ηὗρε δὲ πάλιν γράμματα λαξευτὰ κεκομμένα·
ἔλεγον δὲ τὰ γράμματα, ἔφασκον δὲ τοιάδε·
« ῥηγὸς μεγάλου θύγατηρ μεγάλης Ἀντιοχείας,
Χρυσάντζαν ἣν ὑπέγραψεν ἡ μοιρόγραφος τύχη
τῆς εὐγενοῦς καὶ τῆς καλῆς, τῆς πορφυρογεννήτου,
Βέλθανδρος γῆς ῥωμαϊκῆς παιδὸς τοῦ Ῥοδοφίλου,
ὁ ἔρως τοὺς ἀφώρισεν ἀμφότερα τὰ μέρη. » (F. 15 *a*.)
Ἀνέγνωσε τὰ γράμματα, ἐστέναξε μεγάλως,
εἶπεν ἐξ ὅλης του καρδιᾶς· « νὰ μὴ εἶχα ἐγεννήθην,
καὶ εἰς τῆς γῆς τὸ πρόσωπον ἄψυχος νὰ εἶχα εὑρέθην·
εἰ δὲ εὑρέθην ἔμψυχος, ὡς ξένος νὰ ἐγνωρίσθην,
ἐπεὶ δ' ἡ φύσις ἔπλασεν καὶ αἴσθησιν μοι ἐδῶκεν,
τὸν κόσμον, τὸν ἐγνώρισα, νὰ μὴ εἶχα γνωρίσει,
καὶ εἰς τὸ Ἐρωτόκαστρον ποσῶς νὰ μὴ εἶχα 'σέβη·
εἰ δέ γε καὶ ἐσέβηκα ἔνδοθεν τοῦ τρικλίνου,
τὰ ζώδια τὰ λαξευτὰ οὐ μὴ εἶχα τὰ ἐσκόπουν·
εἰ δὲ τὰ ζώδια σκόπησα, τὰ γράμματα νὰ μ' εἶχα,
τῆς τύχης ταύτης νὰ ἔλειπα, καὶ προσοχὴν νὰ εἶχα
νὰ εἶδα, νὰ ἐσκόπησα μόνος τὸν ἐμαυτόν μου.
Ἐπεὶ δὲ μοιρογράφισμα ηὗρηκα ἰδικόν μου,
καὶ ποῖα μοι ἀπόκειται εἰς ἰδικήν μου τύχην,
ἂς ἴδω εἰς ἀκρίβειαν λοιπὸν καὶ ἂς προσέξω
τὰς πικρογλυκοχάριτας τοῦ Ἐρωτοκάστρου τούτου. »
Ἐξῆλθεν ἀφ' τὸν τρίκλινον, ἦλθεν εἰς τὸ κουβούκλιν, (F. 15 *b*.)
καὶ τοῦτο ἐξ ἀδάμαντος λίθου ἦτον κτισμένον,

414. καὶ γὰρ καὶ κολοστάλακτος. — 434. λαζευτὰ. — 426. γράμμα. — 431. μεῖχα. — 435. ἐσκόπησα τὰ γράμματα νὰ μεῖχα τ' ἀναγνώση (*corr. Wagner*). — 438. μοιρογράφησμα.

μετὰ τῶν μαργαρίτων τε ἦτον ἐπαστωμένον,
καὶ λίθων πολυτίμων τε, ὥνπερ οὐκ ἔχει κόσμος.
Ἦτον τὸ κτίσμα θαυμαστὸν τοῦ κουβουκλιοῦ ἐκείνου·
ἐντέχνως πάλιν ἴσταντο αἱ ἐκεῖναι καμάραι,
διὰ κοχλίου γύρωθε καὶ περιθριγκωμέναι·
ἡ φύσις τοίνυν τῶν βροτῶν εἰ ἐθεᾶτο τοῦτο,
μεγάλως νὰ ἐπαίνεσεν, μεγάλως νὰ ἐθαυμάστην·
θεμέλιον οὐκ εἶχασιν, εἰς γῆν οὐκ ἠπατοῦσαν·
ἐκρέμαντο οἱ τέσσαρεις τοῖχοι τοῦ κουβουκλίου·
νὰ εἶπες καὶ νὰ ἀπείκαζες τὰς οὐρανίους σφαίρας.
Πάντως ὑπερεθαύμασεν ὁ Βέλθανδρος ὡς εἶδεν,
ὁμοίως δὲ καὶ τὴν αὐλὴν ἐθαύμασε κἀκείνην·
εἶδε κἀκεῖ τὸν Λέανδρον ἐκ λίθου κεκομμένου,
ἐκεῖ λουτρὸν πανεύμορφον πλήρης χαριτωμένον,
τοιοῦτον ἦτον τὸ λουτρὸν οἷον ἄλλον οὐκ ἦτον,
οὐδὲ λαλῆσαι κἂν ποσῶς ἡ γλῶσσα δύναταί μου. (F. 16 *a*)
Λοιπὸν παρέξω τοῦ λουτροῦ ἔκειτο ἡ φλισκίνα,
ὡραία, πανεξαίρετη, ὅλη λιθαρωμένη,
τὰ ζώδια γύρου περισσά, λιθαρωτὰ κἀκεῖνα,
τὰ ὁποῖα μετὰ μηχανῆς ἐβάστα κάτω κείνη.
Τῆς δὲ φλισκίνας κάτωθεν κἀκ τῶν ζωδιῶν ἐκείνων
ἔβρυε βρύσι καθαρά, πολλὰ διειδεστάτη,
ἀφ' οὗ κἀκεῖνο τὸ λουτρὸν ἠρδεύετο ἐκ ταύτης·
γύρωθεν δὲ τοῦ στόματος ἐκείνης τῆς φλισκίνας
πουλίτζια ἐκάθηντο, γένη χρυσᾶ παντοῖα,
καὶ τὸ καθένα ἐξ αὐτῶν ὡς ἔθος ἐκελάδει,
τὴν ἰδικήν του τὴν φωνὴν ἀνθόμοια νὰ εἴπες·
καὶ ὥσπερ ζῶντα ἴσταντο ἐκεῖνα τὰ πουλίτζια,
τὰ ἄνω καὶ τὰ κάτωθεν καὶ ὅσα τὰ τριγύρου.
Μικρὸν ἐπαρεξέβηκεν ὁ Βέλθανδρος, καὶ βλέπει
ἡλιακοῦ κατασκευὴν πολλὰ ὡραιοτάτην,
ὅτι τὰ λιθολάξευτα, ἃ εἶχεν γύρου γύρου,

453. νὰ εἶπες doit se prononcer comme s'il y avait νᾶπες, leçon qu'on rencontre assez souvent. ἀπήκαζε.

τὰ λαμπροκαλαμόστυλα, ὀρθομαρμάρωσίς τε, (F. 16 *b.*)
κιττόφυλλα, χρυσόφυλλα ἴων, κρίνων καὶ ῥόδων,
μάλαμμα νᾶναι καθαρόν, ὅλα σωστὰ τὰ πάντα
λαμπρὰν εἶχαν τὴν σύνθεσιν τὸ ἕνα πρὸς τὸ ἄλλο,
καὶ λίθον πανεξαίρετον, ὁλόκαλον, ὡραῖον,
ἐπάνω δὲ τῆς κεφαλῆς τοῦ μονολίθου κείνου
θρόνος ἐκείτετον χρυσός, καὶ κύκλωθε τοῦ θρόνου
πλῆθος ἁρμάτων περισσῶν πρὸς γῆν τε νενευκότων.

Καὶ τότε νὺξ ἀσέληνος δέχεται τὴν ἡμέραν,
καὶ τὸ γυρεύειν χάριτας Ἐρωτοκάστρου ἄλλας,
ἔρως εἰσῆλθε πρὸς αὐτὸν ἀεροπτεροδρόμος,
ἱστάμενος ἐπάνω του καὶ λέγων πρὸς ἐκεῖνον·
« Βέλθανδρε, φθάσε σύντομα, ὁ βασιλεὺς καλεῖ σε. »
Καὶ σὺν τῷ λόγῳ παρευθὺς ὁ Βέλθανδρος ἀνέστη·
ἀκολουθεῖ τὸν ἔρωτα, τὸν φωνήσαντα τοῦτον·
ἀνέβη τοῦ ἡλιακοῦ καὶ πρὸς τὸν θρόνον εἶδε
τὸ πῶς ἀπέσω κάθητο ὁ βασιλεὺς ἐρώτων,
στέμμα φορῶν βασιλικόν, βαστάζων σκῆπτρον μέγα (F. 17 *a.*)
κρατῶν καὶ εἰς τὸ χέριν του μία χρυσῆν σαΐτταν.
Τοῦτον ἰδὼν ὁ Βέλθανδρος πίπτει παρὰ τοὺς πόδας,
καὶ παρευθὺς ὁ βασιλεὺς ὁ τῶν ἐρώτων λέγει·
« ἀνάστα καὶ τὸ κράτος μου σύντυχε περὶ πάντων,
πῶς ἀπὸ γῆς ῥωμαϊκῆς καὶ γονικῆς σου χώρας
ἀπεξενώθης κ' ἔφυγες, ἐλήλυθας ἐνταῦθα,
καὶ πῶς εἰς τὸ Ἐρωτόκαστρον ἐσέβηκες ἀπέσω·
σύντομ' ἀνάστα, λάλει μοι καὶ ἀφηγήσου μέ τα. »
Καὶ παρευθὺς ἀπὸ τῆς γῆς ὁ Βέλθανδρος ἀνέστη,
κλίνει πάλιν τὸν τράχηλον καὶ πίπτει πρὸς τοὺς πόδας,
καὶ τότες ἐσηκώθηκε καὶ πρὸς ἐκεῖνον λέγει·
« ὁ τῶν ἐρώτων βασιλεύς, ἐπεθυμεῖς νὰ μάθῃς
πῶς τὴν πατρίδα ἔφυγα καὶ τὴν ἰδίαν χώρα,

478. σειστὰ (*corrigé par Wagner*), confusion de ει avec ω. — 488. καλεισαι. — 499. καὶ.

καὶ ξένος ἐπροέκρινα καὶ ἀλλότριος νὰ γένω.
Ῥοδόφιλος μὲ πότιζε θλίψεις ἀπειροτάτας,
χολὰς πολλὰς ἀπλήρωτας τοιαύτας καὶ τοσαύτας·
εἶπον σοι, μάθε, βασιλεῦ, τὸν λόγον καὶ τὸν τρόπον, (F. 17 *b*.)
ὅτι διὰ θλῖψιν ἔφυγον ἀπὸ τὰ γονικά μου,
διὰ τὴν καταφρόνησιν ἣν εἶχον ἐκ πατρός μου,
καὶ δι' αὐτὸ ἐξέβηκα θλιμμένος καὶ γυρίζω·
ἐγύρευσα, ἐδιάβασα χώρας ἀναριθμήτους,
καὶ μετὰ πάντων εἰς Ταρσὸν κατήντησα τὸ κάστρον·
ηὕρηκα μικροπόταμον, καὶ εἰς τὸ νερόν του μέσον
φλὸξ τοῦ πυρὸς ἐξήρχετο, καὶ διὰ τὸ πῦρ ἐκεῖνο
ἐπιάσα τὸ ἀναπόταμον θέλων ἰδεῖν τὸ τέλος·
τὴν κεφαλὴν τοῦ ποταμοῦ ἐπεθύμουν γνωρίσαι,
τὴν φλόγα μέσον τοῦ νεροῦ καὶ πῶς ὁμοῦ συντρέχει·
εἶπον σοι, μάθε, βασιλεῦ, δι' αὐτὴν τὴν αἰτίαν
εἰσῆλθον κ' εἰς τὸ κάστρον σου, κάστρον καὶ ὄντως κάστρον.
εὔμορφον ἔνι, ἐξαίρετον, οὐκ οἶδα πούπετις τίτοιον. »
Ὁ δ' Ἔρως ἔφη πρὸς αὐτόν, τοιάδε τὸν ἐλέγει·
« γίνωσκε τοῦτο, Βέλθανδρε, τὴν αὔριον ἡμέραν,
ἔχω γυναῖκας βγενικαῖς τὸν ἀριθμὸν σαράντα.
στεμμένας ὅλας δέσποινας, βασιλεῶν θυγατέρας, (F. 18 *a*.)
ἐκλελεγμέναις, εὔμορφαις εἰς εἶδος καὶ εἰς κάλλος·
καὶ τοῦτο θέλω ἀπὸ σὲ πασῶν τὴν καλλιωτέραν
γνωρίσῃς ἀπὸ σύγκρισιν τὴν ἰδικήν σου μόνος. »
Εὐθὺς ἐπηλογήθηκεν ὁ Βέλθανδρος καὶ λέγει·
« ἀπὸ συγκρίσεως, Ἔρων μου, λέγεις τὴν ἰδικήν μου,
ὄψει ἐν τάχει, δέσποτα, πασῶν τὴν κρειττοτέραν. »
Ὁ Βέλθανδρος δὲ φοβηθεὶς τὸ τάγμα τῶν ἐρώτων,
οὐκ ἐχωρέθην εἰς πολλά, ἀλλ' ὅμως δειλανδρήσας
εἶπεν· « ἐγώ σου σήμερον τὸ πρόσταγμα πληρώσω. »
Ὁ δ' Ἔρως δίδει του βεργὶν τρίκλωνον, πεπλεγμένον
ἀπὸ σιδήρου καὶ χρυσοῦ καὶ ἀπὸ τοπάζου λίθου.

526. εὐγενικὲς. — 538. πελάζου (*corr. Sathas*).

« Καὶ νὰ καὶ τοῦτο τὸ βεργίν, Βέλθανδρε, σὲ τὸ δίδω,
καὶ οἵαν κρίνῃς ἐξ αὐτὰς κάλλιαν παρὰ τὰς ὅλας,
ἐκείνην δός καὶ τὸ βεργὶν ὡς δέσποινα τῶν ὅλων. »
Ἁπλόνει, παίρνει τὸ βεργὶν ἐκ τῆς χειρὸς ἐρώτου·
« γυναῖκας τε εἰς εὐμορφιὰν ὁρίζεις ἵνα κρίνω, (F. 18*b*.)
ὅσον πρὸς τὸ βλεπόμενον ἐμοὶ οὐ μὴ μὲ λάθῃ. »
Εὐθὺς ἀπεχωρίσθησαν οἱ πάντες ἀπ' ἐκεῖνον,
ἀπέμεινεν ὁ Βέλθανδρος μόνος, μεμονωμένος,
κατασκοπῶν τὰς χάριτας τοῦ Ἐρωτοκάστρου ἐκείνου,
καὶ παρευθὺς ἐτήρησεν εἰς ἓν μέρος, καὶ βλέπει
χορὸν ὡραίων γυναικῶν τὸν ἀριθμὸν σαράντα,
ἔξωθε τοῦ ἡλιακοῦ τοῦ γύρου καθημένας.
Ἰδὼν ταύτας ὁ Βέλθανδρος ἔφησε πρὸς ἐκείνας·
« ἰδοὺ συγκρίνειν ὥρισεν ἐμοὶ ὁ μέγας Ἔρων,
καὶ τὸ λοιπόν, ἀρχόντισσαις, ἔρχεσθε νὰ σᾶς κρίνω. »
Ἐχωρίσθη μιὰ ἐξ αὐτῶν, καὶ λέγει πρὸς ἐκεῖνον·
« αὐθέντα, νὰ συγχωρεθῇς, μὴ μὲ παραδικήσῃς. »
Εἶπε δ' αὐτὴν ὁ Βέλθανδρος ὅτι « μὰ τὴν ἀλήθειαν,
ἀλλότρια ξένη τοῦ βεργιοῦ σὲ κρίνω, ὦ κυρά μου,
διὰ τὸ πυρρὸν καὶ τὸ θολὸν τὸ ἔχουν οἱ ὀφθαλμοί σου. »
Ἀπῆρε τὴν ἀπόφασιν, καὶ πᾷ χώρια καὶ στάθην.
Ἄλλη δὲ πάλιν τοῦ χοροῦ ἀφῆκε καὶ ὑπάγει,
ἱστάθην κατὰ πρόσωπον ἐκείνου τοῦ Βελθάνδρου (F. 19*a*.)
καὶ λέγει την· « τὰ χεῖλη σου τὰ περισσά σου, κόρη,
καὶ ἀφ' τὴν θλῖψιν τὴν πολλὴν ἀναίσθητος ἐγίνη,
σύρριζον τὴν καρδίαν της ἀνέσπασεν ἡ λύπη, (F. 35 b.)
καὶ μόλις ἐσυνέφερε τὸν νοῦν της ἡ Χρυσάντζα,

1130. ἄπνους. — 1136. Quelqu'un me propose αὐτῷ, mais je prefère la leçon du ms. — 1138. ἀνεψηλάφα.

ἤρξατο κλαίειν κλαίματα, ἔλεγε μυριολόγιν·
« Βέλθανδρε, φῶς μου, μάτια μου, ψυχή μου καὶ καρδιά μου,
νεκρὸν καὶ πῶς σὲ θεωρῶ, ἄπνουν καὶ πῶς σὲ βλέπω!
ἀντὶ στρωμάτων τε λαμπρῶν, βασιλικῆς τε κλίνης,
καὶ πέπλου μαργαρόστρωτου, οἷς ἔδει σὲ σκεπάζειν,
κεῖσαι εἰς ἄμμον ποταμοῦ οὕτως γεγυμνωμένος!
Ποῦ τοῦ πατρός σου ὁ κλαυθμός, ποῦ καὶ τοῦ ἀδελφοῦ σου,
τῶν συγγενῶν σου τῶν λαμπρῶν, ποῦ καὶ τῶν μεγιστάνων;
Οἱ δοῦλοι καὶ δουλίδαι σου νὰ κλαύσουν, νὰ θρηνήσουν;
καὶ ποῦ ὁ ῥὴξ καὶ ῥήγαινα, πατὴρ ἐμὸς καὶ μήτηρ,
νὰ συνθρηνήσουν μετ' ἐμοῦ καὶ νὰ μὲ συμπονέσουν;
καὶ ποῦ τὸ παρηγόρημα πασῶν τῶν ἰδικῶν μου;
Ἀπὸ τοὺς ὅλους συγγενοὺς ἐγὼ ὑπάρχω μόνη,
ἡ δυστυχής, ἡ ἐλεεινὴ καὶ κακομοιρασμένη·
καὶ τί νὰ ποίσω τάλαινα; τί νὰ γενῶ, ἡ ξένη; (F. 36 *a*.)
καὶ ποιὰ στράτα καὶ ποιὰν ὁδὸν ποῦ πορευθῶ, ἡ ἀθλία;
Ἔδε ὁποῦπαθα κακόν, μυστήριον ποῦ μ' ἐγίνην·
ὦ θαῦμα, πῶς νὰ γίνωμαι, τί πράξω, τί ποιήσω;
πῶς οὐκ αἰσθάνομαι, καλέ, τὰς λαμπροχάριτάς σου,
παράξενέ μου Βέλθανδρε, ἐρωτικέ μου αὐθέντα;
Ἂς σφάξω τὴν καρδίτζα μου, ἂς συνθαπτῶ μετά σου,
συναποθάνω μετὰ σοῦ κ' εἰς ᾅδην συγκαταίβω,
παρ' οὗ νὰ ζήσω ἐπώδυνα τὸν ἄπαντά μου βίον!
Οὐαί μοι τὴν ταλαίπωρον, τί νὰ γενῶ οὐκ οἶδα·
οὐαί, παπαί, βαβαί, βαβαί! ποῦ τὸ λαμπρόν μου γένος
Καὶ ταῦτ' εἰπὼν ἐξήπλωσεν χαμαὶ νενεκρωμένη·
ἔπεσ', ἐλειποθύμησεν ἐκ τοῦ πολλοῦ τοῦ πόνου·
τὸ δὲ τρυγόνιν ἔφερε νερὸν μὲ τὰ πτερά του,
τὴν κόρην ἐκατάβρεξεν, ἀνέζησεν αὐτίκα·
καὶ μόλις ἐπανέψυξε καὶ ἤφερε τὸν νοῦν της,
καὶ τὸ σπαθὶν γὰρ ἔπιασε καὶ ἔσκαπτε τὴν ἄμμον,
καὶ μὲ τὰ χέρια της τὰ δυὸ ἔποικε μέγα λάκκον,

1161. μαργαρόστρωτον. — 1167. συνθρηνήσου. — 1171. γένω (*ms.*), mais voyez le vers 1180. — 1176. 0έλθανδρε.

λοιπὸν ὡς ἐτελεύτησεν ὁ πρῶτος ἐκ τοὺς δύο,
καὶ ὁ υἱός του ὁ δεύτερος ἐξέβην ἠγκρισμένος,
καὶ λέγουν τῆς ἀνατολῆς ἐζήτησε τὸ μέρος·
ὁ δὲ πατήρ, ἀδυνατῶν κρατεῖν τὴν βασιλείαν,
ἡμᾶς δὲ νῦν ἀπέστειλεν εἰς Ἀσίας τὰ μέρη,
τοὺς τόπους νὰ γυρεύσωμεν, ἀπόθεν νὰ εὑροῦμεν
υἱὸν αὐτοῦ τὸν δεύτερον τοῦ ἄνακτος ἐκείνου,
νὰ βασιλεύσῃ εἰς χώρας του καὶ εἰς τὰς ἐπαρχιάς του·
εἶπον σοι· μάθε, κύρι μου, ἄλλον οὐ ψηλαφῶμεν. »
Ὁ Βέλθανδρος καὶ λέγει τον· « ἂς ἴδω τὸν εὐνοῦχον. »
Πάοαυτα καὶ ξεφώνησε καὶ ξέβην ὁ εὐνοῦχος·
καὶ τὸ ἰδεῖν ὁ Βέλθανδρος ἐγνώρισεν ἐκεῖνον·
εὐνοῦχος οὐκ ἠγνώρισεν τὸν Βέλθανδρον καθόλου,
ἐκ τῆς κακοπαθείας του ἠλλάγην ἡ μορφή του.
Μικρὸν ἐχαιρετίσθησαν, τοιάδ' ὁ Βέλθανδρος λέγει· (F. 38 *b*.)
« ἀλήθεια ἀπέθανεν ὁ υἱὸς Ῥοδοφίλου ; »
Γοργὸν ἀπηλογήθηκεν εὐνοῦχος πρὸς ἐκεῖνον·
« πόθεν ἐσὺ τὸν Φίλαρμον ἠξεύρεις, φίλε ξένε; »
Καὶ ὁ Βέλθανδρος ἐλάλησεν ὄνομα τοῦ εὐνούχου·
ἐγνωοισε τον Βέλθανδρον τὴν ὥραν ὁ εὐνοῦχος,
καὶ πίπτει εἰς τοὺς πόδας του καταφιλῶν ἡδέως.
« Ἀνάστα, λέγει, πρόσεξον, λέγε μοι τὴν ἀλήθειαν·
ἀπέθανεν ὁ Φίλαρμος ὁ γλυκὺς ἀδελφός μου; »
Ὡς δὲ πληροφορήθηκεν τὸν θάνατον Φιλάρμου,
βαρέως ἐνεστέναξεν ἀπὸ καρδίας μέσης·
ἔκλαυσεν, ἐθρηνήθηκεν αὐτὸς καὶ ἡ Χρυσάτζα,
καὶ ἀφ' τὴν θλῖψιν τὴν πολλὴν κ' ἡ πέτραις ἐρραγῆσαν·
ὡς δὲ συνέφερε τὸν νοῦν καὶ αὐτὴν τὴν αἴσθησίν του,
πρὸς τὸν εὐνοῦχον ἤρξατο περὶ αὐτοῦ νὰ λέγῃ,
πῶς διὰ θλῖψιν ἄπειρον ἣν εἶχεν ἐκ πατρός του,
ἀπεξενώθην, ἔφυγεν ἀπὸ τὰ γονικά του,
καὶ πῶς ἐγύρισε πολλὰς χώρας ἀναριθμήτους,

1256. κρατῶν (confusion de ει avec ω). — 1261. κύρησμου.

τὰ μέρη τῆς Ἀνατολῆς ἐδιέβη καὶ Τουρκίας,
καὶ τοὺς ληστὰς ἐφόνευσεν ἐκεῖ εἰς τῆς κλεισούρας.
καὶ μετὰ πάντων εἰς Ταρσὸν κατήντησεν τὸ κάστρον, (F. 39 *a*.)
κἀκ' εἶδε καὶ τὸν ποταμὸν ὁποὖχε καὶ τὴν φλόγα,
καὶ δι' ἐκείνην τὴν αἰτιὰν τοῦ ποταμοῦ ἐκείνου,
ἔφθασεν, ἀποσώθηκεν ἐν τῷ Ἐρωτοκάστρῳ·
ὅλα καὶ κατεσκόπησε καὶ γράμματα καὶ ζώδια,
τῆς τύχης του τὰ μέλλοντα, ἔνωσιν τῆς Χρυσάντζας,
τὴν γύμνωσιν εἰς τὸ φευγειὸν καὶ τὸ φονοποτάμιν.
Ταῦτα καὶ ἄλλα ἐσύντυχεν ἐκεῖνον τὸν εὐνοῦχον·
ἐδάκρυσαν ἀμφότεροι, ἔπειτα θέσαν τάβλα,
ἐγεύθησαν, ἐγέρθησαν, ἐμπῆκαν εἰς καράβιν,
ἐνδύθησαν βασιλικὰς στολάς τε καὶ στεφάνους,
ἃς ἔστειλε Ῥοδόφιλος, ὁ πατὴρ τοῦ Βελθάνδρου·
κόρην τὴν πορφυρόβλαστον στολὴν τὴν γυναικείαν
ἐνένδυσεν ὁ Βέλθανδρος μὲ τὰς ἰδιάς του χεῖρας·
ἔλαμψεν ὡς ὁ ἥλιος, ἔφεξε τὸ καράβιν,
αἱ νάπαι τότε χόρευον, τὰ ὄρη ἐσκιρτῶντο,
καὶ τὰ δεινὰ παρέδραμον κ' ἡ χαρὰ ἐπλατύνθη,
καὶ τὸ καράβιν ἔποικεν ἄρμενα καὶ ὑπάγει·
εἶχεν εὔφορον ἄνεμον, καὶ μέσα εἰς πέντε ἡμέρας
ἔφθασαν εἰς τὰ ἴδια των, ἔρραξε τὸ καράβι,
ἔστεσαν φλάμμουρα πολλὰ μετὰ βοῆς μεγάλης· (F. 39 *b*.)
μανδάτα πᾶσιν σύντομα, φθάνουν πρὸς τὸ παλάτιν,
δίδουν πρὸς τὸν Ῥοδόφιλον ἔκλαμπρα συγχαρίκια,
ὅτι τὸν πορφυρόβλαστον Βέλθανδρον τὸν υἱόν του
ἃς δράμῃ, ἃς τὸν δέξεται καὶ ἃς τὸν περιλάβῃ·
ἐστράφην ἀφ' τὰ ξένα του, ἦλθε 'ς τὰ γονικά του
μὲ τὸ καράβιν τὥστειλε νὰ πᾷ γυρεύοντά τον·
εὗρε καὶ ἔφερεν αὐτὸν μετὰ καὶ τῆς Χρυσάτζας,
ῥηγὸς μεγάλου θύγατηρ μεγάλης Ἀντιοχείας.
Ὁ γέρων, ὡς ἐγροίκησε τὰ ἔκλαμπρα μανδάτα,

1286. τῆς κλησούρας. — 1305. *Wagner corrige* εἶχ' εὔφορον [τὸν] ἄνεμον. — 1313. γυρέβοντάτου.

ἀπὸ τοῦ θρόνου του πηδᾷ, τοὺς ἄρχοντας συνάγει,
καὶ ψίκι μέγα, θαυμαστὸν ἐποίκασιν ἐτότες·
μεγάλως τὸν ἐδέχθησαν μετὰ χαρᾶς οἱ πάντες·
ὁ δὲ πατήρ, ὡς ἔβλεψε Βέλθανδρον τὸν υἱόν του,
ἠσπάσατο ἐνήδονα, ἐκατεφίλησέν τον,
τὴν δὲ Χρυσάτζα τὴν ὡραιὰν ἠσπάσατο κἀκείνην·
γυναῖκες τὴν ἐψίκευσαν, ἀρχόντισσαις μεγάλαις,
μεγάλως ἐσυντρόφευσαν, ἐψίκευσαν ἐνδόξως,
ἐτίμησαν, ἐδόξασαν, εἶπον· « πολλὰ τὰ ἔτη (F. 40 *a*.)
τοῦ βασιλέως τὸν υἱὸν μετὰ τῆς βασιλίσσης! »
Τὸ πούπολον ἐχάρηκεν, ὅλοι μικροὶ μεγάλοι.
Ὁ βασιλεὺς Ῥοδόφιλος ἐσκίρτησεν, ηὐφράνθη,
παιγνίδια εἶχε περισσὰ μουσικὰ καὶ ὡραῖα.
Τὸν 'πίσκοπον ἐκάλεσε μετὰ τοὺς κληρικούς του,
καὶ στέφος περιτίθησι τοῦ γάμου καὶ τοῦ κράτους
ἐπὶ τὰς δύο κεφαλὰς Βελθάνδρου καὶ Χρυσάντζας.
Νυμφίος δ' ἀναγορευθεὶς ὁμοίως καὶ αὐτοκράτωρ,
μετὰ συγκλήτου καὶ λαοῦ βασιλεὺς κατεστάθη
ὁ Βέλθανδρος, καὶ βασιλὶς ἡ κόρη ἡ Χρυσάντζα.
Ἐπαῖξαν τὰ παιγνίδια, ὡς εἶχαν κατὰ τάξιν,
καὶ τὰ φαγία ἕτοιμα καὶ κάτζασιν καὶ φάγαν.
Ὁ βασιλεὺς Ῥοδόφιλος τοὺς πάντας οὕτως λέγει·
« γινώσκετε, οἱ ἄρχοντες καὶ πάντες μεγιστᾶνοι,
ηὕρηκα τὸ γεράκι μου, τὸ εἶχ' ἀπολυμένον·
ὁ δὲ νεκρός μου ἐγύρισεν ἐξ ᾅδου τοῦ πυθμένος. »
Καὶ ταῦτα μὲν ἐνταῦθα μοι καὶ μέχρι τούτων στήτω, (F. 40 *b*.)
ἡμεῖς δὲ τοῦ παροιμιαστοῦ ἀκούσωμεν τὸν λόγον·
ἐὰν τὰ πρῶτα ἦν' καλά, κακὰ δὲ τὰ ἐξ ὑστέρου,
ὡς λέγει αὐτὸς ὁ φρόνιμος, ὅλα κακὰ ὑπάρχουν·
εἰ δ' ἔνι ὀπίσω τὰ καλὰ ἐν τῷ τέλει τοῦ βίου,
ὅλα καλὰ ὑπάρχουσι καὶ μυριοευλογημένα.
Καὶ λέγω τὸ ἀμήν, ἀμήν, καὶ παύομαι τὸν λόγον.

1343. *Wagner corrige* τῶν λόγων. — 1344. ἀν. — 1347. μυρια εὐλογημένα.

ἘΜΜΑΝΟΥΗΛ ΓΕΩΡΓΙΛΛΑ

ΑΛΩΣΙΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ. (F. 41 *a*.)

BIBLIOTHÈQUE NATIONALE. Manuscrit 2909.

Θρῆνος τῆς Κωνσταντινουπόλεως. Ἠχμαλωτίσθη δὲ ὑπὸ τῶν Τούρκων ἔτει ,αυνγ', μηνὶ μαΐῳ κθ', ἡμέρᾳ τρίτῃ, ὥρᾳ πρώτῃ τῆς ἡμέρας. Λόγος θρηνητικὸς καὶ θλιβερὸς καὶ πολλὰ πονετικὸς καὶ ἀναστεναγμένος περὶ τῆς Κωνσταντινουπόλεως, καὶ εἰς τὸν βασιλέα καὶ περὶ τὰ μοναστήρια καὶ τῶν ἁγίων λειψάνων, ῥητόρων, ψαλτῶν, ὑμνοποιῶν, διδασκάλων καὶ ἀρχόντων, καὶ περὶ τῆς συμφορᾶς καὶ αἰχμαλωσίας, ὁποῦ ἐσυνέβη τῆς ταπεινῆς τῆς πόλης, καὶ περὶ τῶν αὐθεντῶν τῆς Φραγγίας καὶ ὅλα τὰ κουμούνια· ἀρχομένου ἀπὸ τὸ παρόν, Φραζζέζους, Ἀγκλέζους, Πορτουγαλέζους, Σπάνια. Κατελάνους, Ταλιάνους, Ἀλαμάνους, Οὐγγάρους, Ῥωμάνους, Βενετίκους, Γενουβήσους, Σέρβους, Βλάχους, Βουλγάρους, καὶ τὰ ἑξῆς, τὰ ὁποῖα (F. 41 *b*.) ῥήματα γράφουνται διὰ στίχου.

Διήγησις πάνυ θλιβερή, πονετικὴ καὶ πλήρη
βαθαὶ παπαὶ τῆς συμφορᾶς τῆς Κωνσταντίνου πόλης.

Νὰ τῶθελεν ὁ ποιητής, ὁ πλάστης τῶν ἁπάντων,
ἀπόστολοι οἱ δώδεκα μετὰ τὴν Θεοτόκον,
τέσσαρες εὐαγγελισταί, τῶν Χριστιανῶν ἡ πίστις,

TITRE. Les mots Ἐμμανουὴλ Γεωργιλλᾶ ne figurent pas dans le ms. Ellissen a omis, probablement à dessein, le titre ἅλωσις Κωνσταντινουπόλεως, écrit à l'encre rouge au-dessus de la petite vignette qui se trouve en tête du folio 41 *recto*. J'ai préféré l'admettre.

καὶ νὰ μ' ἐδῶκαν λογισμὸν καὶ γνῶσιν εἰς ἐτοῦτο,
νἄγραψα τίποτε μικρόν, θλιβερὸν διὰ τὴν πόλιν·
διατὶ δὲν ἔχω φρόνησιν καὶ συλλογὴν εἰς τοῦτο,
νὰ γράψω τὴν ὑπόθεσιν ὡς χρὴ καὶ ὡς τυχαίνει·
καὶ ὁ θεὸς ὁ δυνατὸς ὁποῦδωκε τὴν γνῶσιν,
νὰ μὲ φωτίσῃ καὶ ἐμὲ εἰς τὰς πλοκὰς τοῦ στίχου,
καὶ νὰ ποιήσω καὶ ἐγὼ ποιημάτι τοιοῦτον,
νὰ μὴ τὸ βαρεθῇ τινάς, ἀμμὴ ὁλωνῶν ν' ἀρέσῃ,
τὸν νοῦν μου καὶ τὴν γνῶσιν μου νὰ τὴν ἐπιστηλώσῃ.
Ὅμως θαρρῶ το εἰς θεόν, πολλὰ νὰ τὸ ποθήσω
ὁποῦ ν' ἀρέσῃ τοὺς πολλοὺς καὶ νὰ τὸ μεταγράψουν,
πολλὰ νὰ τὸ τιμήσουσιν καὶ νὰ τὸ ἀγαπήσουν, (F. 42 *a*.)
νὰ χύσουν δάκρυα περισσὰ διὰ τὴν πτωχὴν τὴν πόλιν,
καρδιοαναστενάγματα καὶ κοπετοὺς νὰ δώσουν.
Καὶ τὸ λοιπόν, οἱ ἄρχοντες, ἀκούσατέ μοι λόγον·
μικρὸν τὸ λέγει ὁ πρόλογος, ἀμμὴ ἕνι τόσα μέγας,
ὅτι ἓν' τοῦ κόσμου χαλασμὸς ὡς τὸν καιρὸν τοῦ Νῶε.
Καὶ ὅσοι ἀναγινώσκετε τὴν σύνθεσιν τοῦ λόγου,
παρακαλῶ σας το πολλὰ νὰ μὴ τὸ βαρεθῆτε,
ὅλον τὸ διαβάζετε, τελειόνετε τὸν λόγον·
καί, ἂν ἠσφάλω πούβετις, μὴ μὲ κατηγορεῖτε,
ὅλοι παρακαλέσατε νὰ 'δῶ τὴν σωτηριάν μου,
μὲ τὴν τιμήν μου διὰ νὰ ζῶ, καὶ 'δῶ καὶ τὴν ὑγειάν μου.
Ἐδᾶ λοιπὸν ἀκούσετε τὴν σύνθεσιν τοῦ λόγου,
ἀκρουαστῆτε τὴν ἀρχὴν καὶ τὸ τέλος τοῦ λόγου,
διὰ ν' ἀκούσετε θλιβερὸν καὶ πονεμένον λόγον·
ὅλοι, θαρρῶ, νὰ γράψετε, πολλὰ νὰ λυπηθῆτε.
Ὁπῶχει καὶ πολλὴν χαρά, κρατῶ νὰ τὸ λυπᾶται·
τώρα νὰ τὸ γροικήσετε διὰ τὴν ἁγιὰν τὴν πόλιν, (F. 42 *b*.)
ἄρχοντες πλούσιοι καὶ πτωχοί, μικροί τε καὶ μεγάλοι,
ὅλοι ψυχοπονέσετε, κλαύσατε λυπημένα,
τὴν πόλιν ἅγιαν τὴν εἰπὲ πάλιν ὑπεραγίαν,

Vers cinquième. Après θλιβερὸν, le ms. ajoute τε, que je retranche, parce qu'il rend le vers hypermètre. — 20. ἕνι.

ἐὰν γὰρ καὶ μετέπεσε 'ς τῶν ἀσεβῶν τὰς χεῖρας,
ἁγιάν, ἁγίαν τὴν εἰπέ, ὦ Κωνσταντίνου πόλι,
ἡ πίστις τῶν χριστιανῶν, ἡ δόξα καὶ τὸ κάλλος·
ἐὰν γὰρ νὰ μὴ ἔμεινε πέτρα πρὸς ἄλλην πέτρα,
τὸν τόπον ἅγιον τὸν εἰπὲ τῆς Κωνσταντίνου πόλης.
Γράψειν εἶχα παὶ πλεώτερον 'ς τοῦ προλόγου τὸν λόγον,
ἀμμὴ σχολάζω, ἀφίνω το, διατὶ ἔχω μέγα φόβον,
ὅτι φοβοῦμαι ταπεινὸς μὴ ἀνασπασθῇ ψυχή μου.
Λοιπὸν ἀρχίζω τὴν ἀρχὴν τὴν πρὸς τὸν βασιλέαν,
κὺρ Κωνσταντῖνον Δράγαζη, τὸν ἀρχηγὸν Ῥωμαίων.
Ὦ Κωνσταντῖνε βασιλεῦ, κακὸν ῥιζικὸν ποῦχες,
καὶ τύχην πάνυ βλαβερήν, μοῖραν ἀτυχεστάτην,
καὶ σκοτεινὴν καὶ δολερήν, ἀστραποκαϊμένην.
Νἄχεν ἀστράψειν οὐρανός, νἄχε καῇ ἡ ὥρα, (F. 43 *a*.)
ὅταν ἐσὺ βασίλευσας ἐκείνην τὴν ἡμέραν.
Ἀπὸ ἀρχῆς ἐφάνηκεν ἡ δολερή σου τύχη.
Ἐχάλασες, βαρόμοιρε, τὸ κάστρον τῆς Κλαρέντζας·
τοὺς πύργους, τὰ θεμέλια, ὅλα ἐξερρίζωσές τα·
ἡ ἐκκλησιαῖς ἐχαλάσασιν, οἱ καλογῆροι ἐκλαῖγαν,
οἱ ἄρχοντες μὲ τοὺς πτωχοὺς μεγάλην λύπην εἶχαν·
τὰ σπίτια των ἐχάλασες, ἐκεῖνοι ἐξωρισθῆκαν,
γυναῖκες καὶ παιδία των ὅλα ξωλοθρευθῆκαν,
ὅλοι ἐξωριστήκασιν, μεγάλον κρίμαν ἦτον.
Τίς ἦτον ὁποῦ σ' ἔδωκεν τὴν συμβουλὴν ἐκείνην;
κακὴ βουλὴ 'τον εἰς ἐσέ, ὡς ἔδειξε τὸ τέλος·
καὶ ἀπὸ τότε ἔδειξεν ἡ ἄτυχός σου μοῖρα·
ἔδε κρίμαν ὁποὖποικες ἐκείνην τὴν ἡμέραν.
Ὦ Κωνσταντῖνε βασιλεῦ, κακὸν ῥιζικὸν ποῦχες!
δεσπότης ὠνομάστηκες 'ς τὸν Μιζηθρᾶν ἀπίσω·
νὰ τῶχεν θέλειν ὁ θεός, ὁ ποιητὴς καὶ πλάστης,
καὶ νἄχες εἶσται 'ς τὸν Μωρεὰν αὐθέντης καὶ δεσπότης·
καὶ τὸ Ξαμλιν ἔκτισες τὸ θαυμαστὸν ἐκεῖνον,

39. ἂν. — 45. κυρῶ. — 46. ὁποῦχες. — 63. ὁποῦχες.

διὰ τριάντα ἡμέραις τῶχτισες μετὰ πολλοῦ τοῦ πόθου,(F. 43 *b*.)
καὶ κόπον ἤβαλες πολύν, ἀμμ' ἦτον ὅλως λύπη,
λύπη μεγάλη καὶ φρικτὴ εἰς τοὺς αὐθέντας, λέγω,
['ς] ὅλους τοὺς μεγιστάνους σου, ἀρίστους τοὺς Ῥωμαίους,
εἰς ἄρχοντας καὶ εἰς πτωχοὺς θρῆνος πολὺς καὶ λύπη.
Ὦ Ῥωμαῖοι εὐγενικοί, ποῦ εἶν' ἡ παρρησιά σας;
ποῦ εἶν' τὸ κράτος πάλιν δέ; ποῦ εἶν' ἡ αὐθεντιά σας,
ἡ κοσμοκρατορία σας καὶ ἡ μεγάλη δόξα;
ποῦ ἡ γνῶσις ἡ ἄμετρος, φρόνησις ἡ μεγάλη,
ἡ ὑπερέχουσα παντὸς καὶ τῶν ἄλλων ἀνθρώπων;
Ὦ Κόρινθος πολύθλιβος, πολὺ κακὸ τὸ εἶδες,
τότες ὅταν ἐχάλασαν οἱ Τοῦρκοι τὸ Ἑξαμίλιν·
ὅλος ὁ κάμπος ἔγεμεν ἅρματα καὶ δοξάρια,
σαγίτταις χρυσοπτέρυγαις, σπαθία κοσμημένα·
κεφάλια, χέρια, σώματα 'ς τὸν κάμπον ἁπλωμένα.
Ὦ Κόρινθος κακότυχος, πολὺν κακὸν ὁποῦδες,
καὶ σύ, ἀνδρειωμένε βασιλεῦ, κακὸν ῥιζικὸν ποῦχες.
Τὴν Πάτραν τὴν πανεύμορφον εἶχες παρηγοριάν σου
κ' οἱ Τοῦρκοι τὴν ἐκόψασιν τὴν ταπεινὴν τὴν Πάτραν,
καὶ ἀπὸ τότ' ἐχάλασεν ὅλον τὸ ῥιζικόν σου· (F. 44 *a*.)
αὐτὴν τὴν Πάτραν τὴν πτωχὴν εἶχες παρηγοριάν σου,
πουγκίν σου καὶ σακκούλιν σου εἰς ὅλαις ταῖς δουλειαῖς σου,
εἰς ὅλαις σου ταῖς ὄρεξες κ' εἰς τὰ θελήματά σου·
καὶ ἀπ' ἀρχῆς σου ἔδειξεν ὅλον τὸ ῥιζικόν σου,
κακὰ σοῦ ἐτελειώθηκεν ἐμπρὸς τῶν ὀμματιῶν σου.
Ὦ βασιλεῦ πανφρόνιμε, κακὸν ῥιζικὸν ποῦχες·
νἄχεν ἀστράψειν οὐρανός, νἄχεν καγῆν ἡ ὥρα,
τότες ὅταν ἀπέθανεν ὁ ἅγιος ἀδελφός σου,
ὁ βασιλεὺς ὁ φρόνιμος, σοφὸς ὁ Καλοϊωάννης,
ἡ ῥίζα τῶν φρονήσεων, ἡ δόξα τῶν Ῥωμαίων,
κλέος καὶ κάλλος καὶ τιμή, δεύτερος Πτολεμαῖος,
τῆς ὀρθοδόξου πίστεως σπαθὶν ἀκονισμένον,

72. πολύ. — 82. κεφάλαια. — 84. ὁποῦχες. — 93. ὁποῦχες.

ῥίζα καὶ φῶς τῶν εὐσεβῶν, Χριστιανῶν Ῥωμαίων.
Ὦ Καλοϊωάννη βασιλεῦ, πολλὰ κακὸν τὸ ποῖκες,
τότε ὅταν ἀπέθανες ἐκείνην τὴν ἡμέραν·
ἡ ὥρα τοῦ θανάτου σου ἦτον ὁ χαλασμός μας,
τῆς πόλης τὰ θεμέλια τότ' ἐξερριζωθῆκαν.
Ὦ Κωνσταντῖνε βασιλεῦ, τίς σου ἡ δόλια τύχη! (F. 44 *b*.)
ἐσέναν ἐθελήσασιν νὰ στέψουν βασιλέα·
νἄχε χαθῆν ὁ ἥλιος, τ' ἄστρη καὶ τὸ φεγγάριν,
ὅταν ἐσὺ βουλήθηκες νὰ 'βγῇς ἐκ τὸν Μωρέα,
['ς] τὴν πόλιν νὰ σὲ στέψουσιν βασιλέα Ῥωμαίων,
εἰς τὴν Κωνσταντινούπολιν, τὴν θλιβερὴν τὴν πόλιν,
διὰ τὴν τύχην τὴν κακήν, ἣν εἶχες εἰς τὸν κόσμον.
Ὦ Κωνσταντῖνε βασιλεῦ, πολὺν κακὸν τὸ ποῖκες,
ὅταν ἐσὺ βουλήθηκες νὰ γένῃς βασιλέας·
νἄχεν ἀστράψειν οὐρανός, νἄχε καγῆ ἡ ὥρα,
ὅταν ἐδόθην ἡ βουλὴ 'ς τῆς πόλης τὸ παλάτιν,
καὶ βασιλέαν σ' ἔστεψαν εἰς τὴν ἁγιὰν Σοφίαν.
Νἄχεν ἀστράψειν οὐρανός, νἄχε καγῆν ἡ ὥρα·
ἥλιος, σελήνη μηδαμοῦ νὰ μ' εἶχαν ἀνατεῖλειν,
καὶ τέτοια 'μέρα μελανὴ νὰ μ' εἶχεν ξημερώσει.
εἰς τοῦ μαΐου τοῦ μηνὸς 'ς τὰς εἴκοσι ἐννέα,
τρίτην ἡμέραν δολερὴν ποῦ αὐθέντευεν Ἄρης.
Ἐκείνη ὥρα ἡ βαρειά, ἡ στιγμὴ τοῦ πλανήτου,
[ἡ] φούσκωσις Ἀνατολῆς ἐπῆρασι τὴν πόλιν,
οἱ Τοῦρκοι σκύλοι ἀσεβεῖς· ὦ συμφορὰ μεγάλη!
ὅποιος ἔνε Χριστιανός, τὴν πόλιν ἂς τὴν κλαύσῃ.
Λέγουν· « οἱ Τοῦρκοι ἐσέβησαν εἰς τὴν ἁγίαν πόλιν, (F. 45 *a*.)
καὶ τρέχουν καὶ κουρσεύουν την πεζοὶ καὶ καβαλλάροι,
τὴν πόλιν τὴν θεόκτιστον, καὶ τίς νὰ τὸ πιστεύσῃ;
ἐγὼ ἀπιστῶ το, φῶλε μου, τὸ δολερὸν μανδάτον. »
Ἕνι τοῦ κόσμου χαλασμὸς καὶ συντελειὰ μεγάλη,
συντελεσμὸς τῶν Χριστιανῶν τῶν ταπεινῶν Ῥωμαίων·

116. σὲ. — 120. εἰς.

ὅμως ἂς τὸ θλιβοῦν πολλὰ καὶ τὰ γένη Λατίνων
διὰ τοῦτο ποῦ συνέβηκεν βασιλείαν Ῥωμαίων,
διατ' ἦτον σπίτιν ὁλωνῶν, Ῥωμαίων καὶ Λατίνων,
ἡ πόλις ἡ κακότυχος καὶ ὁ βασιλεὺς ὁμάδιν.
Ποῦναι λοιπὸν τὰ λείψανα, ποῦ αἱ ἁγίαι εἰκόνες;
ἡ ὁδηγήτρια ἡ κυρά, ἡ δέσποινα τοῦ κόσμου;
Λέγουσιν, ἀναλήφθησαν 'ς τὸν οὐρανὸν ἀπάνω
τὰ λείψανα τὰ ἅγια καὶ τοῦ Χριστοῦ τὰ πάθη,
οἱ ἄγγελοι τὰ πήρασιν ἐμπρὸς εἰς τὸν δεσπότην.
Καὶ τοῦτο ἔνι ἀληθινόν, ὡς δοῦλοι τοῦ δεσπότου
εἰκόνες τε καὶ λείψανα ὅλα ἀναληφθῆκαν
εἰς οὐρανοὺς εἰς τὸν Χριστόν, τὸν κύριον τῆς δόξης.
Ποῦ εἶν' τὰ μοναστήρια, ποῦ ἡ ὀρθοδοξία;
ἀφῆκες, ἐξαπόλυκες, πανύμνητε, τὸν κόσμον;
οἱ ὕμνοι ποῦναι τὸ λοιπὸν καὶ ποῦ αἱ ψαλμῳδίαι; (F. 45 *b.*)
καὶ ποῦ εἶν' οἱ δομέστικοι, ἡ μελῳδιὰ ἀγγέλων.
ὁ ὕμνος τῆς ἁγιᾶς Σοφιᾶς, ἡ μυρωδιαῖς, θυσίαις;
τί ἐγίνετο [ἡ] ψαλτική, ἡ καλαῖς προσῳδίαις;
ποῦ ἔναιν οἱ φιλόσοφοι ῥητορικοὶ Ῥωμαῖοι;
ποῦ ἡ νηστειαῖς Ῥωμαίων τε, παπάδων, ἡγουμένων,
νέων, γερόντων ἀληθῶς, ὁμοῦ δὲ καὶ Λατίνων;
τὰ τρίμερα τῶν Χριστιανῶν, θεέ μου, δὲν τὰ θέλεις,
νὰ σὲ δοξάζουν ἀσεβεῖς 'ς τὸ ἅγιόν σου σπίτιν,
ἀπέσω 'ς τὴν ἁγιὰν Σοφιάν, 'ς τὰ ἅγια τῶν ἁγίων;
τίς εἶδε ἢ τίς ἤκουσε ποτέ του τέτοιον πρᾶγμα,
οἱ ἀσεβεῖς νὰ πάρουσι τὸ σπίτιν τῶν ἁγίων,
νὰ σὲ δοξάζουν, κύριε, οἱ Τοῦρκοι σοδομίταις;
θεέ μου, πῶς ἀπόμεινες 'ς τὴν τόσην ἀνομίαν,
καὶ πῶς τὸ κατεδέχθηκες, δύναμις τῶν ἀγγέλων;
ἐχάθησαν οἱ Χριστιανοί, θεέ, πῶς τὸ ἀπομένεις;
Ἢ ἐδικαῖς μου ἁμαρτιαῖς τὸ προξενῆσαν τοῦτο·
σύννους, συστρέφων κατὰ νοῦν καὶ πάλιν οὕτως λέγω·

159. εἰς. On pourrait peut-être supprimer la particule 'ς. Cf. plus loin les vers 243 et 308.

ὦ βασιλεῦ παμφρόνιμε, ἀνδρεῖε Κωνσταντῖνε,
δὲν πρέπει ἄνθρωπος τινὰς νὰ σὲ κατηγορήσῃ,
μικρὸς ἢ μέγας διὰ νὰ 'πῇ, διὰ νὰ σὲ ὀνειδίσῃ, (F. 46 *a*.)
λόγον ποτὲ εἰς γέλοιον, καὶ νὰ ἀναγελάσῃ,
νὰ εἴπῃ πῶς καὶ διὰ σὲ ἐχάθηκεν ἡ πόλις,
καὶ πῶς τὴν ἐπερλαβαν οἱ ἀσεβεῖς τὴν πόλιν·
μηδὲ κατηγορήσετε τὸν βασιλεάν, αὐθέντας,
οὐδὲ τοὺς ἄρχοντας αὐτοῦ, οὐδὲ τοὺς στρατιώτας,
μικρούς, μεγάλους ἢ πτωχούς, πλουσίους, ἀνδρειωμένους.
Τὸ θάρρος ὁποῦ ἤλπιζαν οἱ Χριστιανοὶ 'ς τὴν πόλιν
ἦτον 'ς τὸν ἁγιώτατον τὸν πάπαν τε τῆς Ῥώμης,
καὶ εἰς τοὺς γκαρδιναλίους του, νὰ δώσουσι βοήθειαν·
εἰς τοὺς ῥηγάδαις τῆς Φραγκιᾶς τῶν αὐθεντῶν τῶν ὅλων,
δουκάδαις, κούντους, πρίγκιπαις, καὶ τὰ κουμούνια ὅλα,
μετὰ τοῦ βασιλέως τε τοῦ τῆς Ἀλαμανίας,
Σέρβους καὶ Ῥούσους, Βλάχους τε, ὁμοίως καὶ Οὐγγάρους,
τοὺς Παίονας τοὺς φουμιστούς, τοῦ Πιάγκω τὰ φωσσάτα·
κάτεργ' ἀπὸ τὴν Βενετιὰν τὴν πολυχρυσωμένην,
καράβι' ἀπὸ τὴν Γένοβαν, τριήρεις κ' ἡ λιβιέρα,
καὶ ἀπὸ τὴν Κατελώνιαν καὶ ἀπ' ὅλην τὴν Ἰτάλιαν,
νὰ δράμουν νὰ βοηθήσουσι τὴν ταπεινὴν τὴν πόλιν, (F. 46 *b*.)
τὴν πόλιν τὴν πανάτυχον, τὸ μέλος τὸ οἰκεῖον,
τὸν βασιλέα τὸν πτωχόν, τὸν ἄθλιον Κωνσταντῖνον,
ὁποὖχε πάντα καὶ ἀεὶ 'ς αὐτούς, νὰ τὸν βοηθήσουν,
τὸν πόθον καὶ τὴν πίστιν του καὶ ὅλον του τὸ θάρρος,
καὶ ἐγελάστην ὁ πτωχὸς κ' ἐχάσε τὴν ζωήν του,
καὶ ἀπέθανεν, ὡς λέγουσιν, ἐπάνω εἰς τὸ σπαθίν του.
Τὸ θάρρος ὁποῦ ἤλπιζεν εὑρέθην γελασμένος,
καὶ ἐκομπώθην εἰς αὐτοὺς καὶ γίνην χαλασμένος,
καὶ χάθησαν οἱ Χριστιανοὶ Ῥωμαῖοι καὶ Λατῖνοι.
Ἐκεῖν' ἡ 'μέρα σκοτεινή, ἀστραποκαϊμένη,

164. ἀνδριομένε. — 168. εἶπε. — 177. δουκάδες κοῦντοι πρίγκιποι. — 178. τὸν τῆς. — 181. κάτεργα. — 182. καράβια. — 183. ἀτάλιαν. — 187. εἰς. βοθήσουν. — 189. καὶ. — 194. ἀστραποκαϊμένην.

τῆς τρίτης τῆς ἀσβολερῆς, τῆς μαυρογελασμένης,
τῆς θεοκαρβουνόκαυτης, πουμπαρδοχαλασμένης,
ἐχάσε μάννα τὸ παιδὶ καὶ τὸ παιδὶν τὴν μάνναν,
καὶ τῶν κυρούδων τὰ παιδιὰ ὑπᾶν ἀσβολωμένα,
δεμέν' ἀπὸ τὸν σφόνδυλα ὅλ' ἀλυσοδεμένα,
δεμέν' ἀπὸ τὸν τράχηλον καὶ τὸ οὐαὶ φωνάζουν,
μὲ τὴν τρομάραν τὴν πολλήν, μὲ θρηνισμὸν καρδίας.
Τρέμουν ὡς φυλλοκάλαμον ἐξετραχηλισμένα,
γυμνά, χωρὶς πουκάμισον, ἐξάγκωνα δεμένα, (F. 47 *a*.)
βλέπουν ἐμπρὸς καὶ πίσω των, μὴ νὰ 'δοῦν τοὺς γονεῖς των,
καὶ βλέπουν τοὺς πατέρας των ἐξάγκωνα δεμένους·
ὁ κύρης βλέπει τὸ παιδὶν καὶ τὸ παιδὶ τὸν κύρην,
ἄφωνοι δίχως ὁμιλιὰν διαβαίνουν τὸ μαγκούριν.
Ἡ μάνναις ἡ ταλαίπωραις ὑπᾶν ξεγυμνωμέναις,
τῆς πόλης ἡ πολίτισσαις ἐξανασκεπασμέναις,
πλούσιαις, πτωχαῖς ἀνάκατα, μὲ τὸ σκοινὶ δεμέναις.
τῆς πόλης ἡ εὐγενικαῖς, ἡ ἀστραποκαϊμέναις·
ὁ ἀδελφὸς τὸν ἀδελφὸν βλέπει σιδηρωμένον,
θωροῦν καὶ τὸν πατέρα των μὲ ἄλυσον δεμένον,
καὶ δύ' ἀδελφάδες εὔμορφαις, πολλὰ ὡραιωμέναις.
ἐντροπιασμένα ἐπάγαιναν μὲ τὸ σχοινὶν δεμέναις.
ἐστράφησαν ὀπίσω ταις, βλέπουν τοὺς ἀδελφούς των
ὁμάδιν μὲ τὸν κύρην των νὰ κλαίγουν, νὰ θρηνοῦνται.
Τὸ δάκρυον τὸ ἀστάλακτον, ὁ βοησμὸς κλαμάτου,
ἐφαίνετο, ἐδύθιζεν ἡ σφαίρωσις τοῦ Κρόνου,
νὰ κλαίῃ μάννα τὸ παιδὶ καὶ τὸ παιδὶ τὴν μάνναν,
τὰ κλάματα νὰ λούνουνται ὁ φίλος μὲ τὸν φίλον,
ὁ σύντεκνος τὴν σύντεκνον, ὁ γείτων πάλιν γείτων, (F. 47 *b*.)
νὰ κλαίουν, νὰ θρηνίζωνται, νὰ μεγαλοφωνάζουν,
ἐκ τὴν μεγάλην συμφορὰν πικρᾶς αἰχμαλωσίας.
Ἐτοῦτα ἤλπιζα ἐλεεινὸς νὰ γράψω διὰ τὴν πόλιν,
νὰ γράψω λόγια θλιβερὰ ἐξ ὅλης τῆς ψυχῆς μου·

199. δεμένα. — 200. δεμένα. — 210. σκηνὴ. — 214. δύο.

καὶ πῶς ἀπὸ τὸ σῶμα μου οὐδὲν ἐξανασπᾶται,
νὰ τὴν ἐπάρῃ ὁ ἄγγελος ἀπ' τὴν πολλήν μου λύπην,
ὅμως ἐτοῦτα τὰ πικρὰ καὶ ὁ χαλασμὸς τῆς πόλης,
ἡ ἰδικαῖς μου ἁμαρτιαῖς, οὐαί, τὰ ἐπροξενῆσαν.
Λοιπὸν μὴ ὀνειδίζετε τὸν βασιλεάν, αὐθέντας,
διατὶ ὅλον τὸ πταίσιμον ἦτον εἰς τοὺς ρηγάδαις
καὶ εἰς τοὺς αὐθέντας τῆς Φραγκιᾶς, ὁποὖπαν νὰ βοηθήσουν.
τὴν πόλιν τὴν θεόκτιστον νὰ τὴν ἀποκρατήσουν,
ἀμμ' ὅλοι νὰ βοηθήσουσι, νὰ τὴν ἀποκερδήσουν,
διατ' ἦτον σπίτιν ὁλωνῶν, Ῥωμαίων καὶ Λατίνων,
καὶ δόξα τῶν πατριαρχῶν καὶ τῶν μητροπολίτων,
τοῦ πρωτοκλήτου τὸ σκαμνὶν Ἀνδρέου ἀποστόλου,
καὶ θρόνος οἰκουμενικός· οὐαί σοι πάλιν, πόλις.
Ποῦ εἶν' τὰ μοναστήρια σου, ποῦ εἶν' οἱ καλογῆροι,
παπάδες, ψάλται, ἱερεῖς καὶ κοσμικοὶ ὁμοῦ τε,
καὶ φιλοσόφοι, ῥήτορες τῆς ἑπτασόφου τέχνης;
θεέ μου, πῶς ἀπέμεινες τὴν ἀνομίαν ταύτην; (F. 48 a.)
καὶ πῶς τὸ καταδέχθηκες, δύναμις τῶν ἀγγέλων;
ἡ ψευδοελπίδες δολεραῖς τὸ προξενῆσαν τοῦτο.
Ὦ Κωνσταντῖνε βασιλεῦ, κακὸ ῥιζικὸν ποὖχες!
Ἂς ἔλθω εἰς τὸ προκείμενον τοῦ πονεμένου θρήνου,
νὰ μὴ πλαντάξω ἄτυχος ἐκ τὸ πικρὸν τὸ τόσον.
Αὐθέντας εὐγενέστατοι, τῆς Δύσης μεγιστᾶνες,
ἐδ' ἂς φανῇ ἡ δόξα σας, ὅλη ἡ δύναμί σας,
ὅλοι νὰ ὁμονοιάσετε, νὰ ποίσετε ἀγάπην.
Χρείαν σᾶς κάμνει καὶ πολλὴ νὰ ἐβγάλετε τὰ ἔθνη
ἀπὸ τὴν γειτονίαν σας σιμὰ κ' ἐκ τὸ πλευρό σας,
νὰ μὴ ἀγριεύσουν τὰ θηριὰ καὶ φᾶσιν τὰ παιδιά σας,
μήπου καὶ ξολοθρεύσουν σας ἀπὸ τὰ γονικά σας,
ὡσὰν τὸ ποῖκαν καὶ πολλῶν καὶ ξωλοθρεύσασίν τους·
κυροῦδες, μάνναις καὶ παιδιὰ ἀπὸ τὰ γονικά των,
καὶ σκλάβοι διεσπάρτησαν 'ς ὅλην τὴν οἰκουμένην.

245. οἱ δολερὲς. — 246. ὁποῦχες. — 249. μεγισταν (en abrégé). — 250. ἐδὰ. — 253. καὶ. — 254. ἀγρεύσουν.

καὶ κλαῖν καὶ ἀναστενάζουσιν μετὰ πολλῶν δακρύων.
Ὅλος ὁ κόσμος τοῦ Χριστοῦ, ὅλοι νὰ μαδευτοῦσιν,
τὴν πόλιν νὰ ἐπάρετε 'κ τῶν ἀσεβῶν τὰς χεῖρας·
καὶ μὴ ἀργεῖτε τίποτις τοῦ χρόνου ἢ τῶν χρόνων, (F. 48 *b*.)
νὰ μὴ τὸ μετανοήσετε, εἰς τὴν ὑφὴν καὶ τέλος·
ἡ μετανόησις ἡ ὑστερνὴ πολλὰ ἔν' μετανοημένη.
Λοιπὸν μὴ ἀναμένετε, πλέον μὴ καρτερεῖτε,
ὅλοι σας συγκροτήσετε, πλέον μὴ ἀκαρτερεῖτε,
περὶ τὰ πάντ' ἀπὸ ψυχῆς ὅλοι ἀγαπηθῆτε,
νὰ πᾶτε ὅλοι κατ' ἐχθρῶν, κατὰ τῶν Μουσουλμάνων,
καὶ δεῦτε εἰς ἐγδίκησι, τρέχετε, μὴ σταθῆτε,
τὸν Μαχουμέτην σφάξετε, μηδὲν ἀναμελεῖτε,
τὴν πίστιν των τὴν σκύλικην νὰ τὴν λοκτοπατῆτε·
μέρα καὶ νύκτα μὲ σπουδὴν 'ς τὰ ἔθνη διὰ νὰ πᾶτε·
σηκώσατε καὶ τὸν σταυρὸν ὁποῦναι θεῖον ἅρμα,
ὡσὰν τὸ σήκωσε ποτὲ ὁ μέγας Κωνσταντῖνος,
καὶ τοὺς ἐχθροὺς ἐνίκησε καὶ ἐκατέβαλέν τους.
Ω Κωνσταντῖνε Δράγαζη, κακὴν τύχην ὁποῦχες!
καὶ τί νὰ λέγω οὐκ ἠμπορῶ, καὶ τί νὰ γράφω οὐκ οἶδα,
σκοτίζει μου τὸν λογισμὸν ὁ χαλασμὸς τῆς πόλης,
καὶ τὸ πολύν της τὸ κακὸν πῶς νὰ ἐβγῇ 'ς τὸν κόσμον.
ἔδε μανδάτον θλιβερὸν ποῦ θέλει πᾷ 'ς τὸν πάπαν,
τὴν κορυφὴν τῶν Χριστιανῶν, μέσα 'ς τὸν ἅγιον Πέτρον, (F. 49 *a*.)
γαρδιναλίους δώδεκα καὶ ἄλλους ἑβδομῆντα.
πῶς νὰ τὸ πιάσῃ ἡ ἐκκλησιά, ἡ συμβουλὴ τῆς Ῥώμης,
καὶ πῶς νὰ τὸ συλλογισθοῦν τῆς Δύσης οἱ αὐθέντες,
ῥηγάδες, κόντοι, πρίγκιποι, δουκάδες, καβαλλάροι,
πῶς νὰ τὸ συμμετρήσετε, νὰ τὸ συλλογισθῆτε,
τὸ δολερὸν καὶ σκοτεινὸν τῆς πόλης τὸ μανδάτον;
Ἦλθε καιρὸς τῶν Χριστιανῶν, Λατίνων καὶ Ῥωμαίων,
Ῥούσων καὶ Βλάχων καὶ Οὐγκρῶν, Σέρβων καὶ Ἀλαμάνων,
ὅλοι νὰ ὁμονοιάσουσιν, νὰ γένουσι τὸ ἕνα,

259. κλαί. — 261. ἐκ. — 264. ὑστερηνή. ἐνι. — 267. πάντα.

καὶ νὰ ὁμοφωνήσουσιν οἱ Χριστιανοί τε ὅλοι,
καὶ νὰ σηκώσουν τὸν σταυρόν, τοῦ Χριστοῦ τὸ σημάδιν,
μὲ λιτανείαις, δέησες, προσευχαῖς καὶ δακρύων,
καὶ νὰ παρακαλέσουσιν ἐξόχως τὴν κυρίαν,
νὰ δεηθῇ πρὸς κύριον τοῦ νὰ μᾶς δώσῃ νῖκος.
Ὦ Βενετία φουμιστή, μυριοχαριτωμένη,
αὐθένταις εὐγενέστατοι, λάθος μεγάλον ἦτον,
εἰς τὴν Κωνσταντινούπολιν μεγάλον κρίμα ἦτον·
ποῦ ἦτον ἡ βοήθεια σας, αὐθένταις Βενητζιάνοι;
τὸ δολερὸν καὶ σκοτεινὸν τῆς πόλης τὸ μανδάτον, (F. 49 *b*.)
λέγουν οἱ Τοῦρκοι πήρασι τὴν Κωνσταντίνου πόλιν·
νὰ 'ποῦμεν ἐχάθη καὶ αὐτὴ ὡσὰν τὴν Σαλονίκην.
τί ἐγίνετον ὁ μπάϊλος; ποῦ οἱ πραγματευτάδες;
ποῦ τὸ λογάρι τὸ ἄμετρον καὶ ποῦ ἡ πραγματείαις,
λιθομαργαριτάρια, ἀσήμιν καὶ χρυσάφιν,
καὶ στολισιαῖς καὶ φορεσιαῖς ὁποῦχετε 'ς τὴν πόλιν;
ἔδε φωνὴν τὴν ἔσυρε κοράσιον ἐκ τὴν πόλιν·
« θεέ μου, πῶς ἀπόμεινες τὴν τόσην ἀνομίαν,
οἱ Τοῦρκοι νὰ κερδήσουσι τὴν πόλιν τὴν ὀλβίαν;
νὰ κενωθοῦν τῶν Χριστιανῶν τὰ αἵματα ὡς ὕδωρ; »
Ὦ Γενουβῆσοι φρόνιμοι, ποῦτον ὁ λογισμός σας,
καὶ ποῦ ἡ δόξα κ' ἡ τιμὴ καὶ ποῦ ἡ συμβουλή σας;
ποῦ εἶν' τ' ἀρχοντολόγια σας, ποῦναιν ἡ παρρησιά σας;
ποῦναι τ' ἀσημοχρύσαφον καὶ τὸ πολὺν λογάριν,
ὁποῦχετε 'ς τὸν Γαλατᾶν εἰς τὰ σκηνώματά σας;
καὶ ποῦναιν ἡ εὐγενικαῖς καὶ ἡ ἀρχοντοπούλαις,
τοῦ κάστρου ἡ Γαλατιαναῖς, ἡ Γενοβεσοπούλαις;
Οἱ Τοῦρκοι ταῖς ἐπήρασιν, ἀποκερδήσασίν ταις.
Ὦ Γενουβέσοι φρόνιμοι, μὴ τὸ καταπατεῖτε·
τὴν δύναμίν σας βάλετε ὥστε νὰ ἐκδικηθῆτε (F. 50 *a*.)
τὰ ἔθνη τὰ ἀλλόπιστα 'ς τὴν βρωμερήν των πίστιν.
Μὴν τοὺς ἀφήσετε λοιπὸν 'ς τὴν πόλιν νὰ σταθοῦσιν,

291. Quelqu'un me propose de lire ὁμοφρονήσουσι. — 292. συκόσου. — 296. φουμισθή. — 321. εἰς.

μηδὲ ριζώσουσιν ἐκεῖ ἢ νὰ πολυσταθοῦσιν
καὶ κάμουν ρίζαις δυναταῖς ἀνάσπασταις διόλου
εἰς τὴν Κωνσταντινούπολιν, καὶ τίς νὰ ταῖς ἀνασπάσῃ,
εἰ μὴ ὁ παντοδύναμος θεὸς ὁ παντεπόπτης
καὶ ἡ μητέρα τοῦ Χριστοῦ, ἡ τοῦ θεοῦ καὶ λόγου,
οἱ ἅγιοι ἀπόστολοι καὶ μετὰ τῶν προφήτων.
Ὦ Κωνσταντῖνε βασιλεῦ, τύχην βαρεὰν ὁποὖχες!
Θέλω νὰ δώσω ἐνθύμησιν 'ς τῶν αὐθεντῶν τῆς Δύσης
ῥήγαν τὸν ἐκλαμπρότατον καὶ τοῦ Παρὶς τὸν πρῶτον,
πρωτόαρχον τῶν αὐθεντῶν, τῶν τοπαρχῶν τῆς Δύσης.
Ὦ Φράτζα τιμιώτατη καὶ πολυφουμισμένη,
Φρατζόρτζιδες πολεμισταί, ἄνδρες μου στρατιῶται,
ἠξεύρετε πληροφοριάν· ἐχάθηκεν ἡ πόλις.
Τώρ' ἂς φανῇ ἡ δύναμις ὁμοῦ καὶ ἡ στρατιά σας,
νὰ δράμετε ἀπόκοτα μὲ φρόνησιν καὶ πρᾶξιν,
ἐγδίκησιν νὰ ποίσετε τῆς ταπεινῆς τῆς πόλης.
διατὶ καὶ τὸ βασίλειον ἀπὸ τὴν Φράτζαν ἦτον, (F. 50 *b*.)
ἕνι καὶ δίκαιον λοιπὸν τοῦ γένους νὰ βοηθῆτε,
καὶ μὴ ἀργεῖτε κἂν ποσῶς, πάραυτα ἐγερθῆτε·
νὰ πᾶτε μὲ βοήθειαν θεοῦ παντοδυνάμου,
νὰ πολεμήσετε καλῶς μετὰ Μαχουμετιάνους·
θέλημα ἕνι τοῦ θεοῦ εἰς τὰ ἔθνη νὰ πᾶτε.
Λοιπὸν κοντεύγω τὰ πολλά, στρέφομαι 'ς τοὺς Οὐγκλέζους·
ὦ 'Γκλέζοι φρονιμώτατοι, τίμιοι τῶν ἁρμάτων,
οὐδὲν ἠξεύρω τί νὰ 'πῶ οὐδὲ τὸ τί νὰ λέξω.
Οἱ Χριστιανοὶ μὲ Χριστιανοὺς νἄναι τόση κατάρα,
νὰ σφάζουνται ἀλλήλως των καὶ νὰ μηδὲν λυποῦνται,
νὰ χύνουσι τὰ αἵματα ὁμοῦ ἕνας καὶ ἄλλος,
καὶ νὰ τὸ δέχεται ἡ γῆ καθ' ἡμέρα νὰ πίνῃ·
ὦ μέγα κρίμα καὶ ἄδικον, καὶ μαυρισμένη μοῖρα.
θεέ μου, διὰ τὴν δόξαν σου βάλε τους εἰς ἀγάπην,
Φραζζέζους καὶ Οὐγκλέζιδαις, Σπανιόλους, Ἀλαμάνους,

324. διόλου fait office de négation et affecte ἀνάσπασταις. — 331. ὁ πρῶτος. — 332. πρωτόαρχος. — 336. τώρα. — 346. κλέζοι.

πᾶσ' αὐθεντία, πᾶσ' ἀρχή, τῆς Δύσεως τὰ μέρη,
νὰ ὁμονοιάσουν ἐμπιστά, νὰ πᾶν κατὰ τὰ ἔθνη·
τὴν πόλιν τῶν Χριστιανῶν, Λατίνων καὶ Ῥωμαίων,
νὰ πάρουν ἀφ' τὰ χέρια των, νὰ κόψουν ἔπαρσίν των.
οὐ δύναμαι νὰ γράφω πλεόν, αὐθένταις μεγιστᾶνοι, (F. 51 *a*.)
μὴ ξεψυχήσ', ὁ ἄτυχος, κρατῶντα τὸ κονδύλι,
μὴ ξεψυχήσ', ὁ ταπεινός, ἐκ τὴν πολλήν μου θλῖψιν·
ὅμως ἐδᾶ καὶ πάντοτε μετὰ ψυχῆς κραυγάζω
θεὸν τὸν παντοδύναμον τοῦ νὰ σᾶς εἰρηνεύσῃ,
τὴν πόλιν νὰ ἐπάρετε ἐκ τῶν Μαχουμετιάνων.
Τώρα ἀναθυμήθηκα τὸν αὐθέντην, τὸν δοῦκαν,
κύριον τῆς Μπουργούνιας, τὸν μέγα στρατιώτην.
Ὦ Μπουργουνέζοι ἀληθινοί, ἄνδρες ἀνδρικωτάτοι,
ὁποῦχετε πολλὴν φιλιὰν πάντα 'ς τὴν βασιλείαν,
εἰς ἄρχοντας καὶ εἰς πτωχοὺς κ' εἰς τὴν ἁγιὰν Σοφίτζαν,
ποῦναιν ὁ φλος σας λοιπόν, βασιλεὺς Καλοϊωάννης,
καὶ Κωνσταντῖνος Δράγαζης, ὁ ἀδελφὸς ὁ τούτου,
ὁποῦχαν πόθον εἰς ἐσὲ κ' ἐσὺ πάλιν εἰς αὐτους;
καὶ πῶναιν ἡ ἁγιὰ Σοφιὰ μετὰ τὴν ὁδηγήτριαν,
ὁποῦχες τὴν ἀγάπη σου, δοῦκα μου τῆς Μπουργούνιας;
Ἡ πόλις ἡ ἀγάπη σου, ἐπῆραν την οἱ Τοῦρκοι·
ἡ ὁδηγήτρια οὐ φαίνεται, ἡ ἁγιὰ Σοφιὰ ἐχάθην,
ὁ φλος σου ὁ βασιλεὺς οὐδὲ ποσῶς εὑρέθην·
τοὺς ἄρχοντας ἐκόψασι τὰ τούρκικα μαχαίρια,
καὶ οἱ πτωχοὶ οἱ ταπεινοὶ ὅλοι ἠχμαλωτισθῆκαν. (F. 51 *b*.)
Λοιπὸν πανυψηλότατε, ἐκλαμπρότατε δοῦκα,
κύριε τῆς Μπουργούνιας, αὐθέντη καὶ δεσπότη,
σήκωσε τὸ σταντέλι σου μετὰ πολλῆς ἰσχύος·
νἄναιν καὶ ὁ φόβος τοῦ θεοῦ ἐμπρὸς κατ' ὀφθαλμῶν σου,
καὶ δράμε εἰς ἐγδίκησιν τῆς Κωνσταντίνου πόλης·
ὁμοῦ μὲ ἄλλους Χριστιανοὺς δράμετε, μὴ ἀργεῖτε,
τὸν Τοῦρκον μὴ ἀφήσετε, ὅλοι ἁρματωθῆτε,

355. πᾶσα. πᾶσα. — 356. ἐμπιστά (*sic codex*). — 360. ξεψυχήσω. — 361. ξεψυχήσω. — 364. Après ce vers le ms. ajoute τὰς χεῖρας.

τοὺς Τούρκους ἐξαλείψατε, ἐξανασπάσετέ τους.
Μὴ ἀμελήσῃς τὸ λοιπόν, δοῦκα μου στρατιῶτα,
ἄμε, δράμε εἰς ἐγδίκησιν τοῦ βασιλεῶς τῆς πόλης,
τῆς ὁδηγήτριας τῆς κυρᾶς καὶ τῆς ἁγιᾶς Σοφίας,
ὡς φίλος γνησιώτατος ὁποῦσουν τῶν Ῥωμαίων,
μὲ τὴν ψυχὴν διὰ νὰ 'μπῇς ὡσὰν τὸν Πτολεμαῖον,
τὴν πόλιν νὰ ἐπάρετε καὶ μὴ ἀκαρτερεῖτε,
καὶ νὰ τὸν ἀκοντίσετε μὲ τὴν καρδιὰν τὸν σκύλον,
ὅτι ἐκενοδόξησεν ἀπὸ τὰς εὐτυχιάς του·
νὰ μὴ μετανοήσετε κ' ὑστέρου νὰ θλιβῆτε,
καὶ τῶχετε νὰ κάμετε, μηδὲν τὸ ἀμελεῖτε.
Ἀφίνω τον τὸν εὐγενὴν τὸν δοῦκαν τῆς Μπουργούνιας,
κ' εἰς τὴν Προβέντζα στρέφομαι καὶ συνθρηνῶ μετά τους. (F. 52*a*.)
Ὦ Προβεντζάλοι εὐγενικοί, στρατιῶται τοῦ πολέμου,
μετὰ τῶν Ἱσπανιόλων τε καὶ τῶν Πουρτουγαλέων,
ἠξεύρετε ἀληθινά· ἐχάθηκεν ἡ πόλις,
ἐπῆραν την οἱ ἀσεβεῖς καὶ ἠχμαλώτευσάν την.
Ἀπὸ ἐλπίδας δολερὰς ἦ καὶ φιλαργυρίας
ἐχάθηκεν ἡ ταπεινὴ ἡ Κωνσταντίνου πόλις.
Πλανῆται, μὴ ἀνατείλετε τὸν κόσμον νὰ φωτῆτε·
εἰς πόλης τὰ περίγυρα μὴ λάμψετε, μὴ σταθῆτε,
μὴ 'ματωθοῦν ἡ ἀκτῖνες σας 'ς τὸ αἷμα τῶν Ῥωμαίων.
Ἥλιε, πλανῆτα τοὐρανοῦ, ποσῶς μὴ ἀνατείλῃς,
τῆς πόλης τὰ θεμέλια πρόσεχε νὰ μὴ κλίνῃς,
μὴ 'ματωθοῦν ἡ ἀκτῖνες σου 'ς τὸ αἷμα τῶν Λατίνων,
τῶν Γενουβήσων σὺν αὐτοῖς καὶ τῶν Φραγκῶν τῶν ἄλλων.
Κρόνε, πλανῆτα τοὐρανοῦ, πρόσεχε μὴ ἀνατείλῃς
['ς] τὴν πόρταν τῆς βασιλικῆς τῆς Κωνσταντίνου πόλης,
μὴ 'ματωθοῦν ἡ ἀκτῖνες σου 'ς τὸ αἷμα τῶν Λατίνων,
Σπανιόλων, Προβεντζάλων τε καὶ μοῖρα Κατελάνων.
Ὦ Ζεῦ, πλανῆτα τοὐρανοῦ, βλέπε μὴ ἀνατείλῃς

394. Après καρδίαν le manuscrit ajoute σας.—407. Il faut prononcer λάμψετε comme s'il y avait λάμψτε. — 412. φραγκῶν (*ms.*). — 413. τοῦ οὐρανοῦ. — 416. προβεζάλων. — 417. τοῦ οὐρανοῦ.

ἐκεῖ 'ς τὸν ἅγιον Ῥωμανόν, 'ς τὸ τείχωμα τῆς πόλης,
μὴ 'ματωθοῦν [ἡ] ἀκτῖνες σου ἀφ' τὸ αἷμα τῶν παρθένων. (F. 52 *b*.)
Ἄρης ἐπερνοδιάβαινε τὴν τρίτην βουρκωμένος,
ἀπὸ τὸν ἅγιον Ῥωμανόν, ὅλως αἱματωμένος,
['ς] τὸ αἷμα τῶν Χριστιανῶν αἱματοκυλισμένος.
Ἡ Ἀφροδίτης ἔστεκε τὰ δάκρυα γεμισμένη,
νὰ κλαίῃ νέους εὔμορφους, κοράσια ὡραιωμένα
Καὶ ὁ Ἑρμῆς τάχα θρηνῶν, παρηγορῶν ἐκείνην·
« τί ἔχεις, Ἀφροδίτη μου, καὶ εἶσαι χολιασμένη; »
Καὶ ἡ Σελήνη ἀπὸ μακρεὰ στέκει καὶ οὐδὲν σιμόνει,
καὶ βλέπει καὶ θαυμάζεται, καὶ τρέμει ἀφ' τὸν φόβον·
καὶ τὰ στοιχεῖα τοὐρανοῦ κλαίουν, θρηνοῦν τὴν πόλιν.
Σχολάζω τὸ νὰ πάγω ἐμπρός, ν' ἀφηγηθῶ καὶ τ' ἄλλα,
διατὶ ψυχή μου βλέπω την καὶ θέλει νὰ μὲ ἀφήσῃ,
νὰ 'βγῇ ἐκ τὰς ἁρμονίας μου καὶ ἐκ τὰ σωτικά μου·
μὴ σκάσω, ὁ κακότυχος, γράφοντα μὴ πλαντάξω.
μήπως καὶ παραλογισθῶ, θεέ, βοήθησέ μου.
Στρέφομαι εἰς βοήθειαν νὰ 'πῶ ὅπως νὰ δώσουν.
καὶ ἀντιβολῶ, παρακαλῶ εἰς πάσαναν αὐθέντην,
Σπανιόλους, Προβεντζιάλους τε μὲ τῶν Μπουρτογαλέων·
μόνον νὰ ὁμονοιάσουσιν, ἂν θέλουσιν καὶ μόνον, (F. 53 *a*.)
τὸν Τοῦρκον ξερριζόνουν τον σύρριζον ἐκ τὴν Δύσιν,
καὶ μετ' αὐτοὺς καὶ ὁ εὐγενὴς ὁ ῥήγας τῆς Γρανάτας.
Ἀμμὴ καὶ αὐτὸν ἀφήσετε τὸν ἀσεβὴν τὸν σκύλον,
καὶ οὐδὲν τὸν ξερριζώσετε πάραυτα διαχρῆμα.
Σιγοπατῶ καὶ ἀφίνω τα καὶ σεῖς νὰ τὸ εὑρῆτε·
ὅτι βλέπω καὶ πήδησε καὶ κάτζε κ' εἰς τὴν Δύσιν,
ὡς πάρδος λεοντόπαρδος, ὡς λέων πεινασμένος,
καὶ τρώγει σας τὴν σάρκαν σας, καὶ πίνει σας τὸ αἷμα,
ὡσὰν γλυκὺν μαγείρευμα καὶ δίχα θέλημά σας.
κ' ἔδε κρίμα τὸ κάμνετε καὶ ὡς πότε νἄναιν οὕτως,

431. θέλει. — 436. πᾶσαναν. — 439. ἐξεριζόνουν. — 440. Dans un style plus soucieux de la syntaxe, il faudrait τὸν εὐγενὴν τὸν ῥήγαν. — 448. καὶ.

νὰ κάθεται 'ς τὸν τόπον σας, νὰ τρῶ τὰ σωτικά σας;
Ὅμως ὁ θεὸς ὁ δυνατὸς νὰ σᾶς ἐγκαρδιώσῃ,
νὰ ποίσετε ὁμόνοιαν εἰς μιὰν καρδιὰν οἱ ὅλοι,
καὶ νὰ τὸν ξερριζώσετε παντάπαν ἀφ' τὸν κόσμον.
Εἰς τοῦτο δὲ παρακαλῶ, αὐθέντας καὶ ῥηγάδες,
ἂν ἔγραψα παράξενα, νὰ μὴ μὲ βαρεθῆτε,
ἀμμὲ νὰ μὲ ἀπομείνετε διὰ τὸν θεόν, αὐθέντας.
Ὦ Κωνσταντῖνε βασιλεῦ, τύχην κακὴν τὴν εἶχες!
Ἂς ἔλθω εἰς προκείμενον τῆς ταπεινῆς τῆς πόλης, (F. 53 *b*.)
τὸν Τοῦρκον τὸν παράνομον ἐβγάλετε 'κ τὴν Δύσιν·
τινὰς ἀγάπην μετ' αὐτὸν μὴ βουληθῇ νὰ ποίσῃ,
μὲ τὴν ἀγάπην ἔφαγε τὸν κόσμον ὁποῦ ῥίζει.
Λοιπὸν ἂν τὸν ἀφήσετε μόνον καὶ δύο χρόνους
εἰς τὴν Κωνσταντινούπολιν νὰ περιανασάνῃ,
ὀμνέω σας εἰς τὸν θεόν, ὅλους μας θέλει φάγει.
Μηδὲν ἀναμελήσετε, ποσῶς μηδὲν σταθῆτε,
τὸν Τοῦρκον νὰ ἐβγάλετε, αὐθέντας νὰ γενῆτε,
τότε νὰ κεφαλαιώσετε, αὐθέντας νὰ γενῆτε,
ν' ἀναπαυθῆτε ὅλοι σας, τινὰ νὰ μὴ φοβᾶσθε.
Καὶ μέγα λύκον ἔχετε, χάσκει ὡσὰν τὸ ψάρι,
τὰ αἵματα τῶν Χριστιανῶν πίνει ὡσὰν λεοντάρι·
διὰ τοῦτο ὅλοι Χριστιανοὶ ἂς πᾶν μὲ τὸ καμάριν,
νὰ τὸν ἐξερριζώσετε τὸν σκύλον τὸν λυσσιάρην,
θεὸς ὁ παντοδύναμος θέλει σᾶς δώσει χάριν,
τὸ πνεῦμα τὸ πανάγιον καὶ νὰ σᾶς ἐφωτίσῃ
μὲ προθυμίαν δυνατὴν καὶ μὲ ψυχὴν μεγάλην, (F. 54 *a*.)
καὶ νὰ τὸν ἀφανίσετε, ὡς ὁ θεὸς τὸ θέλει.
Ὁ Τοῦρκος ἕνι δυνατός, ἔχοντα καὶ τὴν πόλιν
θέλει γενῆν ἀνήμερος δράκος καὶ λεοντάριν.
Τώρα τὸ βούλομαι νὰ 'πῶ, ὁ κόσμος τὸ κατέχει.
Ἐκ τοῦ Ἡρακλείου τὸν καιρὸν ἐγέρθην ὁ Μωάμεθ·
καὶ ἀπ' ἐξαύτου τὴν ἀρχὴν ἐφάνη τέτοιον ἔθνος,

458. ἐκ. — 471. ἐξερριζώσουσι ne serait-il pas plus correct?

καὶ πάτησεν εἰς Ῥωμανιὰν καὶ νὰ τελῇ κατ' ἔτος
τὴν ἄτυχον κ' ἐλεεινὴν τὴν Κωνσταντίνου πόλιν·
μὲ τ' αὔριον, μὲ τὸ σήμερον ἀπὸ τόπον εἰς τόπον,
'ξ Ἀνατολῶν ἐπήδησεν καὶ κάτζεν κ' εἰς τὴν Δύσιν,
εἰς τὸ σκαμνὶν τῶν Χριστιανῶν, τὸ κεφαλοδοτίκι.
Ἡράκλειος καὶ πρὸ αὐτοῦ ὁ μέγας Κωνσταντῖνος
καὶ μέχρι Ἰουστινιανοῦ οἱ πρώτιστοι τῆς πόλης,
ἡ πόλις ἐκυρίευε Ἀνατολὴν καὶ Δύσιν,
καὶ τώρα τὸ μειράκιον, τὸ συχαντὸ τὸ ἔθνος,
ἐνέβηκεν, ἐψήλωσεν, ἐγίνη αὐθέντης μέγας·
ἐπάρθηκεν ὁ ἀσεβὴς ὡς διάβολος διώκτης,
τὸν κόσμον ὅλον βούλεται, θέλει νὰ τόνε φάγῃ·
καὶ πᾶσα εἷς ἂς βλέπεται μικρὸς καὶ μέγας αὐθέντης, (F. 54 *b*.)
μὴ συντροφιάσῃ μετ' αὐτόν, μὴ φιλευτῇ μηδ' ὅλως,
μηδὲ δεκτῇ ὁρκομωτικά, μηδ' εἰς αὐτὸν πιστεύσῃ·
τοὺς ὅρκους κάμνει δολερούς, ὀμνεῖ κ' εἰς τὸ σπαθίν του,
'ξ ὑστέρου θανατόνει τους καὶ ἀφιορκεῖ ὁ σκύλος·
τὸν ὅρκον του ὁ ἀσεβὴς ποσῶς οὐ στέργει τοῦτο,
διατ' εἶναι γένος ἄπιστον καὶ πλήρης γέμον δόλου.
Καὶ ὁ Χριστὸς ὁποῦπαθεν δι' ἡμᾶς τοὺς ἀνθρώπους,
καὶ τὸν σταυρὸν μᾶς ἔδωκεν ὅπλον καὶ μέγαν ἅρμα,
'ς τὸ νὰ νικοῦμεν τοὺς ἐχθροὺς ὁρατούς, ἀοράτους·
σηκώσετέ τον τὸν σταυρόν, μὲ φόβον καὶ καμάριν,
καὶ ἀμέτε καταπάνω του τοῦ σκύλου μαγαρίτη.
Ἐλπίζω, λέγω, εἰς θεόν, καὶ γράφω μετὰ θάρρη,
τὸν Τοῦρκον νὰ νικήσετε μὲ τοῦ σταυροῦ τὴν χάριν,
καθὰ ποτὲ ὁ ἅγιος ὁ μέγας Κωνσταντῖνος.
Ἀφίνω τώρα τοὺς πολλοὺς καὶ τοὺς Προβεντζιαλίους,
καὶ τῶν Πουρτογαλέων τε μετὰ τῶν Σπανιόλων,
καὶ στρέφομαι 'ς τὸν βασιλεὰ τὸν τῆς Ἀλαμανίας,
τὸν κράλην τὸν πανθαύμαστον, ῥήγαν τῆς Οὐγκαρίας·
τοιοῦτος εἶν' ὁ βασιλεὺς ὁ τῆς Ἀλαμανίας,

482. καὶ. — 484. ἐξ. — 493. Peut-être φθέντης. — 495. μηδεὶς. — 496. ὠμνὲ. — 502. εἰς.

καὶ πάλιν ὁ παμφούμιστος ῥήγας τῆς Οὐγκαρίας,
ὡς τοὺς πλανήταις τοὺς ἑπτὰ νὰ ὑπερφέρουν δύο. (F. 55 *a*.)
Ὦ βασιλεῦ πανεύμνοστε, ὁ τῆς Ἀλαμανίας,
καὶ σύ, ῥήγα πανένδοξε, αὐθέντα Οὐγκαρίας,
νὰ ξεύρετε ἐπήρασιν οἱ ἀσεβεῖς τὴν πόλιν,
καὶ χάθην ἡ ἀποκράτησις, βασιλεία Ῥωμαίων.
Ἀπὴν ἡ πόλις χάθηκεν, ὁ κόσμος ἂς προσέχῃ·
ἦλθε καιρός, ὦ βασιλεῦ, νὰ πᾷς κατὰ τὰ ἔθνη,
χρείαν σου κάμνει περισσὰ νὰ πάγῃς κατ' ἐκεῖνα.
Ὦ συμφορὰ καὶ θρηνισμὸς καὶ κοπετὸς μεγάλος,
ὦ Κωνσταντῖνε βασιλεῦ, κακὴν τύχην ὁποὖχες!
Αὐθέντη, κράλη εὐγενικέ, στολὴ τῶν ἀνδρειωμένων,
κακὰ θηριὰ ἐσίμωσαν σιμὰ 'ς τὴν Οὐγκαρίαν·
ὦ Πιάγκω φρονιμώτατε, καὶ στῦλε τῆς Βλαχίας,
ἐχάλασεν ἡ Ῥωμανιά, ἐχάλασεν ἡ Δύσις,
ἐπέσασι τὰ φλάμπουρα τοῦ βασιλεῶς τῆς πόλης·
θεέ μου, πῶς ἀπέμεινες τὴν τόσην ἀνομίαν;
ὦ Ἀλαμάνια καὶ Οὐγκριά, Βλαχία καὶ Σερβία,
ἐδᾶ σᾶς κάμνει χρειὰ πολλὴ κατὰ Τουρκῶν νὰ πᾶτε,
μετὰ μεγάλης στρατιᾶς, μετὰ πολλῆς ἰσχύος,
νὰ πολεμήσετε καλῶς καὶ οὕτως νὰ δοξασθῆτε,
νὰ δοξασθῆτε περισσά, ὅταν ἡ ὥρα σώσῃ, (F. 55 *b*.)
καὶ δώσῃ σᾶς τὴν ὁ θεὸς ὁ μέγας τροπαιοῦχος,
καὶ ὅλοι ν' αὐθεντεύσετε μὲ τιμημένον τρόπον,
εἰς δόξαν τοῦ παντάνακτος θεοῦ τοῦ παντεργάτου.
Ἡ κορυφὴ τῆς ἐκκλησιᾶς τῆς Ῥώμης τῆς ἁγίας,
ὦ πάπα ἁγιώτατε, τῆς πίστεως ὁ στῦλος,
φέγγος, φωστὴρ τῶν Χριστιανῶν, καὶ κορυφὴ τῆς Ῥώμης,
ποῖσε νὰ ὁμονοιάσουσιν οἱ Χριστιανοὶ τοῦ κόσμου,
ὅλοι αὐθένταις τῆς Φραγκιᾶς νὰ κάμουσιν ἀγάπην,
ὁμόνοιαν ἀληθινήν, ὡς ὁ θεὸς τὸ θέλει,
καὶ νὰ σηκώσουν τὸν σταυρὸν ἐσὺ πρῶτος καὶ κεῖνοι·

519. ἐχάθηκεν. — 531. τουρκῶν (*ms.*).

τὰ ἔθνη νὰ ἐβγάλετε ἀπὸ τὰ γονικά σας,
νὰ τοὺς ἐξολοθρεύσετε ἀπὸ τὸ πρόσωπόν σας,
καὶ ὁρισμὸς ἕνι τοῦ θεοῦ, παναγιώτατε πάπα,
θέλεις νικήσειν μὲ τὸν θεὸν ὅλους τοὺς ἀντιδίκους.
Φρατζέζοι, Οὐγγκλέζοι εὐγενικοί, ἐλᾶτε εἰς τὴν Ῥώμην,
καὶ Βενετζιάνοι φρόνιμοι εἰς βουλὴν καὶ εἰς ἔργον,
ἐλᾶτε ὁμοῦ, ᾽μονοιάσετε καὶ μὲ τὴν συμβουλήν σας,
μὲ τὸ καλόν σας ῥιζικὸν καὶ μὲ τὰ κάτεργά σας.
Πορτογαλέζοι, δράμετε, καὶ σεῖς οἱ Φράγκοι ὅλοι,
Σπάνια μὲ τὴν δύναμιν ἣν ἔχει καὶ βοήθειαν· (F. 56 *a*.)
Ταλιάνοι ἀνδρικώτατοι καὶ τῆς φρονήσεως πρῶτοι,
καὶ Γενοβέσοι ἐκλεκτοὶ ὁπού σᾶς κόπτει πλέον,
ὅπως νὰ ξαναπάρετε σπίτια σας τὰ χαϊμένα·
συντόμως ὁμοθυμαδὸν ἀμέτε καταπάνω
τοῦ Τούρκου μέγα Μαχουμὲτ καὶ τοῦ ἀσεβεστάτου,
ὁποὖμπεν καὶ κεφάλωσεν εἰς τῶν Ῥωμαιῶν τὴν χώραν.
μὴ νὰ σᾶς ᾽δῇ, νὰ ξεσπασθῇ, νὰ φοβηθῇ, νὰ σκάσῃ,
νὰ χέσῃ τὸ συκώτιν του καὶ ὅλην τὴν οὐσιάν του,
νὰ χάσῃ τὴν ἀλωπεκὴν καὶ τὴν ᾽ψηλοφροσύνην,
καὶ νὰ τὸν ἐνικήσετε, νὰ πάρετε τὴν πόλιν.
Παρακαλῶ σας, βασιλεῖς, αὐθέντας καὶ ῥηγάδες,
καὶ τὰ κουμούνια τῆς Φραγκιᾶς, σοφοὶ καὶ διδασκάλοι,
μὴ μὲ κατηγορήσετε εἰς τἄγραψα καὶ εἶπα·
περάσετέ με ὡς ἄγνωστον ὁμάδιν μὲ τὸν νοῦν μου,
καὶ ψέξετε τὸν λογισμὸν ἐμοῦ δὲ καὶ τὴν γλῶσσαν,
τὴν ποιὰν δὲν ἐδυνήθηκα νὰ τὴν ἀποκρατήσω.
Ἀμμὴ ἐνθυμούμου τίποτας μικρὸν διὰ νὰ γράψω,
καὶ ὁ λογισμὸς ἀνέβαζε νὰ γράψω τίτοιαις λέξες, (F. 56 *b*.)
καὶ νὰ μοῦ λέγει· « γράψε τας διὰ νὰ ταῖς ἐγροικήσουν
ὅλοι αὐθέντας τῆς Φραγκιᾶς καὶ θέλουν συμπονέσειν. »
Καὶ διὰ τοῦτο ἔποικα καὶ ἔγραψα ἃ εἶπεν.
Τοῦτο καὶ μόνον λέγω σας, πλέον νὰ μὴ ἀργῆτε,

549. οὐνγκλέζοι. — 561. ἰδῇ. Il faut peut-être lire ξυσπασθῇ. — 575. εἶπον (*corr. Ellisen*).

τοὺς Τούρκους πολεμίζετε, τοὺς Χριστιανοὺς ἀφῆτε·
ὅτι ἐβαρέθην ὁ θεὸς τῶν Χριστιανῶν ταῖς μάχαις,
ἐβρώμησαν εἰς τὸν θεὸν μάχαις τῶν ὁμοφύλων.
Δὲν βλέπετε τοὺς ἀσεβεῖς τὸ πῶς εὐημεροῦσιν,
κ' οἱ Χριστιανοὶ μὲ Χριστιανοὺς πάντα νὰ πολεμοῦσιν;
θεὸς ὁ παντοδύναμος [πρέπει] νὰ μᾶς βοηθήσῃ,
νὰ καταβάλῃ τοὺς ἐχθρούς, νὰ τοὺς καταποντίσῃ·
κ' εἰς ὅσον γράφω νὰ γενῇ καὶ νὰ χαρῇ ὁ κόσμος.
Ὦ Κωνσταντῖνε βασιλεῦ, κακὴν τύχην ὁποῦχες!
Θεέ μου, δῶσε προθυμιὰν τῶν αὐθεντῶν τῆς Δύσης,
νὰ πᾶσιν εἰς ἐγδίκησιν τῆς ὀρθοδόξου πίστης.
Ὦ Βλαχία πολύθλιβη, Σερβία πονεμένη,
θυμεῖσθε ταῖς αἰχμαλωσιαῖς, Οὐγκρία λυπημένη,
τῶν μαγκουριῶν τὰ δέματα, θλιμμένοι, πονεμένοι.
Πάλιν δὲ ἐνθυμίζω σας, αὐθέντας, μὴ σταθῆτε,
τὸ ἔχετε διὰ νὰ ποίσετε, μηδὲν τὸ ἀμελεῖτε, (F. 57 *a*.)
τὰ ἔθνη διὰ νὰ ἐβγάλετε μὲ τὴν καρδιάν σας ὅλοι,
μὲ πόθον καὶ συγκρότησιν πάντες νὰ συναχθῆτε,
νὰ ἐβγάλετε τοὺς ἀσεβεῖς ἀπὸ τὰ γονικά σας,
νὰ πάρετε τοὺς τόπους σας καὶ νὰ χαρῇ καρδιά σας,
καὶ μὴ συγκαταιβῇ κἀνεὶς νὰ τοῦ ζητήσῃ ἀγάπη,
τὸν Τοῦρκον τὸν ἀγριόσκυλον, τ' ἀνήμερον θηρίον·
καὶ θέλω νὰ γινώσκετε ὅτι μὲ τὴν ἀγάπην
ἐρρούφησεν τοὺς Χριστιανοὺς ὡς δράκος πεινασμένος,
ἐγίνηκεν Ἀντίχριστος, τὸν κόσμον σακτανίζει,
τὸ γένος τὸ Ῥωμαϊκὸν ἐκαταδούλωσέν το,
καὶ πρὸς τὰ μέρη τῆς Φραγκιᾶς, βλέπω, ἀναχεντρίζει.
Ὦ κορυφὴ τῆς ἐκκλησιᾶς, παναγιώτατε πάπα,
τῆς πίστης τὸ στερέωμα, Χριστιανῶν ἡ δόξα,
'ς τὴν ἁγιωσύνη σου κρεμᾷ ὅλη Χριστιανοσύνη·
νὰ τοὺς ἐφέρῃς εἰς καλὸν ἐκ τὴν διατανοσύνη,
μὲ τὸ γλυκύ, μὲ τ' ὠμορφον, μὲ τοῦ θεοῦ τὸν φόβον,

577. πολεμήζετε, que l'on peut conserver en écrivant πολεμίζετε. — 606. εἰς. κρέμμαται.

καὶ νὰ σηκώσῃς τὸν σταυρὸν μὲ φόβον καὶ μὲ τρόμον,
μὲ τόλμην τὸν ἀγριόπιστον νὰ ἐβγάλετ' ἐκ τὸ σπίτι,
ἐκ τὴν Κωνσταντινούπολιν, τὴ νέα Ῥώμη, λέγω. (F. 57 *b*.)
Ἀπὴν ἡ πόλι ἐχάθηκεν, ὁ κόσμος ἂς προσέχῃ,
καὶ λέγω νὰ προσέχετε, ὡς ἡ βροντὴ τὰ νέφη.
Ἡ πόλις ἦτον τὸ σπαθίν, ἡ πόλις τὸ κοντάριν,
ἡ πόλις ἦτον τὸ κλειδὶν τῆς Ῥωμανίας ὅλης,
καὶ κλείδονε καὶ σφάλιζεν ὅλην τὴν Ῥωμανίαν,
καὶ ὅλον τὸ Ἀρτζιπέλαγος ἐσφικτοκλείδονέν το.
Γίνωσκε, ἀγιώτατε, καὶ κορυφὴ τῆς Ῥώμης,
ὁ ποταμὸς ὁ πύρινος ἐσέβην εἰς τὴν πόλιν,
τὴν Δύσιν περιπλέκεται μὲ παρακλάδια ἕξη·
τὸ πρῶτον σώνει 'ς τὴν Σερβιάν, δεύτερον 'ς τὴν Βλαχίαν,
τὸ τρίτον ἐκοντόσωσε σιμὰ τὴν Οὐγκαρίαν,
τὸ τέταρτον ἐφλόγισεν ὅλην τὴν Βουλγαρίαν,
τὸ πέντατο φοβοῦμαι το μὴ δράμῃ παραμέσα,
καὶ σμίξῃ μὲ τὰ τέσσαρα, διατ' εἶν' μαγαρισμένον,
θέλει γινῆν ἀπέραντο ποτάμι αἱματωμένον·
τὸ ἕξατον ἐξάναψεν τῆς πόλης τὰ θεμέλια,
ἐξάναψεν ἡ φλόγα των καὶ τρέχει φοβισμένα
νὰ κάψῃ τὰ περίγυρα, πᾶν κάστρη καὶ πᾶν χώρα.
Ἀπ' ὥρας βάλε τὴν βουλήν, μὲ τὴν καλὴν τὴν ὥραν,
κοπιάσε μὲ τὰ γόνατα, μὲ τ' ἅγιον τὸ κορμί σου, (F. 58 *a*.)
καὶ τῇ βουλῇ σου μάζωξε, σάλευσε ῥιζικόν σου,
ἅγιε καὶ πανάγιε, καὶ κορυφὴ τῆς Ῥώμης·
πιάσε τὸ φλάμουρον χρυσόν, τὰς κλεῖς τ' ἁγίου Πέτρου,
καὶ σώρευσε μετὰ θεὸν τῆς Δύσης τοὺς αὐθέντας,
νὰ πᾶτε εἰς ἐγδίκησιν τῆς Κωνσταντίνου πόλης.

610. εὐγάλετε. — 619. πύρινος est ainsi accentué dans le manuscrit ; mais l'accentuation vulgaire est πυρινός. — 621. εἰς τὴν σερβίαν. — 625. διατί ἦν μαγαρισμένος. — 626. ποτάμην. — 627. ἔνατον. Je n'ai jamais vu ἕξατον, mais voyez πέντατο au vers 624, et ἑφτάτον dans le Glossaire des Κυπριακὰ de Sakellarios, page 284. — 628. ξάναψεν. — 629. παρήγορα. Le mot πᾶν est ici indéclinable. — 634. ποῖσε.

Αὐθέντης ἕνι δυνατὸς ὁ Τοῦρκος, ξεύρετέ το,
Δύσιν τε καὶ Ἀνατολὴν ὁρίζει, πιστωθῆτε,
'ς τὴν Δύσιν ἔχει ἀληθινὰ ὅλην τὴν δύναμίν του,
πάντα τὴν Δύσιν θεωρεῖ, διατὶ ἔχει αὐτοῦ τὸν φόβον.
Λοιπὸν μηδὲν ἀφήσετε τὸν Τοῦρκον νὰ ῥιζώσῃ
εἰς τὴν Κωνσταντινούπολιν, ὅτ' εἶναι φόβος μέγας,
τὸ ὁποῖον ποῦ ξεύρετε καὶ οὐδὲν τὸ ἀναφέρνω.
Αὐτὸ τὸ σπίτιν τὸ ἄπειρον, ἡ Κωνσταντίνου πόλις,
δὲν ἔναι σὰν τὰ πρόλοιπα ὁποῦ ὁρίζει ὁ Τοῦρκος,
ἀμμὴ ἕνι τέτοιον φοβερὸν ὅτι καλὰ γροικᾶτε·
χρυσάφιν ἔχει ἀρίθμητον, ἀνθρώπους ὅσους θέλει,
Φράγκους, Κουμάνους, Τζερκασούς, Βλάχους καὶ Ἀλαμάνους,
τεχνίταις ὅλοι θαυμαστοὶ ἁπάσης τέχνης φύσης· (F. 58 *b*.)
τὴν ῥόγα δίδει ὡσὰν τυφλὸς εἰς τοὺς καλοὺς μαστόρους,
τὰ στάμενα οὐδὲν ψηφᾷ εἰς τοὺς ἀνδρειωμένους·
ποσῶς οὐκ ἔχει λογισμὸν εἰς τὴν φιλαργυρίαν·
σκορπίζει, σπέρνει τα 'ς τὴν γῆν, ῥογεύγει τα παντόθεν.
ῥόγαις δίδει παράξεναις, δόξαις, τιμαῖς, τιμάρια,
καὶ καθ' ἡμέρα δίδει τα, λαμβάνουσι ταῖς ῥόγαις,
καὶ τρέχουν οἱ ἀχριστιανοὶ μόνον διὰ ταῖς ῥόγαις,
καὶ δι' αὐτὸ εὑρίσκεται πάντα κεφαλαιωμένος.
Τὸ χρῄζει, εὐθὺς τὸ πολεμᾷ διχῶς τινὸς ἐμπόδου,
καὶ τοῦτο ὅλον γίνεται διὰ τὴν τυφλὴν τὴν ῥόγαν,
ὁποῦ ῥογεύγει ἀμηρᾶς ὁδηγοὺς καὶ προδότας,
καὶ διὰ τοὺς κακοὺς κακὸν ἦλθε κ' ηὗρεν τὴν πόλιν,
διὰ κακοὺς Χριστιανοὺς ἐχάθη τέτοια χώρα.
Αἱ ἁμαρτιαῖς μου ἡ πολλαῖς τὸ προξενῆσαν τοῦτο,
καὶ διὰ τὰ κρίματα [ἡμῶν] τὴν ἐπῆραν οἱ Τοῦρκοι.
Ἡ τέχναις τῶν Χριστιανῶν καὶ τὰ καμώματά των,
ἡ δημηγερσιαῖς, διαβολιαῖς, ἀλλὰ καὶ πονηρίαις,

644. ἄπωρον (confusion de ω avec ει). — 658. διχὼς (*ms.*) Cette accentuation est fréquente. Voyez Sophianos, *Grammaire*, page 82 de ma seconde édition. — 664. των ajouté par Ellissen est un contre-sens. — 666. οἱ διαβολίες.

τὸν ποταμὸν τὸν πύρινον ἔβαλαν εἰς τὴν πόλιν,
τὴν πόλιν τὴν ἐξάκουστον, καὶ ἐπυρπόλησέν την, (F. 59 *a*.)
καὶ ἔκαυσε καὶ 'μπύρισεν Χριστιανοὺς Ῥωμαίους.
τὰ ἔργα τῶν Χριστιανῶν καὶ ἡ κενεῖς ἐλπίδες
ἐκείναις ἐχαλάσασιν βασιλείαν Ῥωμαίων,
ἀμμὴ οἱ Τοῦρκοι οὐ δύνουντα νὰ πάρου τίτοια χώρα.
Ὅμως γροικῶ, μαδεύγεται, θέλει ψυχή μου νἄβγῃ
ἀπέσω ἀπαὶ τὸ κοῦφος μου, ἀπὸ τὰ σωτικά μου,
καὶ δι' αὐτὸ συγκόπτω τα, θέλω νὰ 'πῶ ἄλλα ὀλίγα.
Ὦ Κωνσταντῖνε βασιλεῦ, κακὸ ῥιζικὸν ποῦχες!
πάλιν σᾶς λέγω, αὐθένταις μου, ῥηγάδες, μεγιστᾶνοι,
εἶπα καὶ πάλιν, λέγω το, πάλι ἐνθυμίζω σάς το,
ποσῶς μὴ τὸ ἐβγάλετε ἀπὸ τὰ λογικά σας,
μὰ πάντοτε νὰ τῶχετε μέσα εἰς τὴν καρδιά σας,
τὴν πόλιν μὴ ἀφήσετε 'ς τῶν ἀσεβῶν τὰς χεῖρας·
ἐγρήγορα μὲ τὸ σπαθίν, μετὰ θυμὸν νὰ πᾶτε,
καὶ νὰ τὸν πολεμήσετε καὶ πλέον μὴ ἀργεῖτε·
τὸν Τοῦρκον τὸν καταχανᾶν, αὐτὸν τὸν χονικιάρην,
ὥστε νὰ τὸν νικήσετε νὰ μὴ ἀναπαυθῆτε,
καὶ νὰ τὸν ξερριζώσετε ἀπέσω ἀπὸ τὴν πόλιν·
εἰ δὲ ἂν τὸν ἀφήκετε νὰ περιανασάνῃ, (F. 59 *b*.)
νὰ κάμῃ 'λιγοστὸν καιρὸν ἄχρι καὶ χρόνους δύο,
ὀμνέω σας εἰς τὸν θεόν, καὶ ὅλοι πιστεύσατέ μοι,
ν' ἀγανακτήσετε πολλὰ ἐπάνω εἰς τὴν χρείαν·
καὶ διὰ τοῦτο ὁ θεὸς ἐχάρισέν σας γνῶσιν,
ἔχετε καὶ τὴν δύναμιν ὁμοίως τε καὶ πλοῦτος,
ἐτύχετε καὶ τὴν ἀνδρειὰν ἐκ τοῦ θεοῦ τὴν χάριν,
καὶ ἡ σοφία τοῦ θεοῦ εἰς τὴν Φραγκιὰν ἐδόθην·
οἱ Φράγκοι τὴν ἐπήρασιν εἰσὲ κληρονομιάν των,
καὶ ὁ θεὸς ὁ παντοδύναμος νἄναιν 'ς τὴν συντροφιά σας,
τὸ πνεῦμα τὸ πανάγιον ἐμπρὸς 'ς τὰ φωτικά σας,
ἰσχὺς εἰς τὰ μαχαίρια σας, ζῶσμα εἰς τ'ἅρματά σας,

672. L'auteur se montre ici économe du ν final qu'il prodigue ailleurs. — 676. ὀποῦχες. — 678. πάλιν. — 680. μᾶς. (μὰ 'ς πάντοτε ?).

καὶ νἄσθε πάντα καὶ ἀεὶ ἐπὶ τὴν βασιλειάν σας,
τὸ στέμμα, τὸ διάδημα νἄναι κ' εἰς τὰ παιδιά σας.
Τοῦτο δὲ μόνον δέομαι, πάλιν παρακαλῶ σας,
ἂν γράφω τι παρὰ τὸ δέ, νὰ μὴ μοῦ βαρεθῆτε,
ὅταν δὲ τὸ ἀναγνόνετε, μὴ μὲ κατηγορεῖτε,
ἀμμ' ὅλον τὸ διαβάζετε ἀπ' ἄκραν ἕως ἄκραν.
Θαῤῥῶ εἰς τὸν πανάγαθον, καλῶς νὰ τὸ ποθῆτε, (F. 60 *a*.)
διατ' εἶναι λόγοι θλιβεροὶ θρηνητικὰ γραμμένοι·
μὲ θρῆνον ἀνυπόμονον ἔνι περιπλεμμένοι.
Θαυμάζομαι, ξενίζομαι, ἐκπλήττομαι μεγάλως,
πῶς ἐβαστᾶτο μου ψυχὴ καὶ ἔγραφα τοὺς λόγους,
καὶ οὐδὲν ἐζερριζώθηκεν ἐκ τὸ ἐμόν τε σῶμα.
Γινώσκει το ὁ κύριος, θεὸς ὁ καρδιογνώστης,
τὴν νύκταν ἐσηκόνουμου συχνῶς ἐκ τὸ κρεββάτιν,
ἀναθυμῶντα τὸ κακὸ τῆς πόλης ἐθρηνούμην,
ἐτρέχαν καὶ τὰ δάκρυα μου ὡς τρέχει τὸ ποτάμιν,
καὶ μάχετό μοι λογισμὸς νὰ γράψω τὰ συμβάντα,
τὰ ποῖα ἐσυνέβησαν τὴν ἄτυχον τὴν πόλιν,
καὶ ἐγερνόμην κ' ἔγραφα καὶ μετέπιπτον πάλιν·
καὶ πάλιν ἐσηκόνουμου καὶ γύρευα νὰ γράφω.
Τοῦτο λέγω νὰ ξεύρετε, ἄρχοντες τοῦ πολέμου,
δὲν ἔχει τόσην δύναμιν ὁ Τοῦρκος σὰν τὸ λέγουν·
αὐτὴν τὴν Δύσιν ὁποῦ ἀκοῦς αὐτὸς καὶ αὐθεντεύει
ὁ ἀσεβὴς σκυλότουρκος, τῶν Χριστιανῶν διώκτης,
ὅλοι ἔναι Χριστιανοὶ ἀπ' ἄκραν ἕως ἄκραν·
ἡ ὅλη δύναμις αὐτοῦ ἔναιν ὁ κροτισμός του,
ὁ φόβος του ὁ ἄμετρος ἐκρότησε τὸν κόσμον,
διατὶ οὐδὲν πονεῖ ποσῶς τὸ χριστιάνικον αἷμα,
δι' ἕνα κουφοκάρυδον νὰ σφάξῃ μιὰν χιλιάδα. (F. 60 *b*.)
Διὰ τοῦτο ἐκροτίστηκεν ὁ κόσμος ὁποῦ ὁρίζει,
καὶ τρέμουν τον οἱ Χριστιανοὶ Ἀνατολῆς καὶ Δύσης.
Ὦ θεέ, νὰ τὤχαν πολεμᾶν καὶ οἱ Ῥωμαῖοι οὕτως,

721. Il faudrait peut-être lire [']ς αὐτὴν τὴν Δύσιν, *etc.* Mais voyez la même construction au vers 758. — 726. χριστιάνοικον (*ms.*).

καὶ νάχαν κάμνειν αἵματα καὶ κρίσες τοῦ θανάτου,
ποτὲ νὰ μὴ ἐχάνασιν, λέγω, τὴν βασιλείαν·
ἀμμὲ ἡ κρίσες ἡ ἀχαμναῖς καὶ ἡ ἐλεημοσύναις
ἐκάμαν τους ὁλόγυμνους καὶ ξετραχηλισμένους.
Καὶ τοῦτο ἔναιν ἀληθές, στοχάσου καὶ νὰ τωῦρῃς,
καὶ οὐδὲν ἔνι ψώματα καὶ οὐδὲν ἔνι ὡς τὸ γράφω·
Ἐδ' ἂς χαροῦσιν οἱ ἐχθροὶ ὁποῦ τοὺς ἐμισοῦσαν,
καὶ οἱ φίλοι των ἂς θλίβουνται ὁποῦ τοὺς ἀγαποῦσαν.
ἡ ἁμαρτιά μου τὸ ἔποικεν εἰς ὅσον ἐσυνέβη.
Ὦ Κωνσναντῖνε βασιλεῦ, κακὴν τύχην ὁποὖχες!
τὸ ποῦ ἦτον ἡ γνῶσι σου 'ς ἄλλην γνῶσιν νὰ πέσῃ;
Τώρα εἰς τὸ προκείμενον θέλω νὰ ἔλθῶ τοῦ λόγου,
καὶ πλέον οὐδὲ δύναμαι νὰ γράφω λυπημένα
εἰς τόση μου τὴν συμφορὰν κ' εἰς τὸ πολὺν κακό μου.
καὶ στρέφομαι 'ς τὸν ἀσεβῆν, 'ς τὸν Τοῦρκον, τὸ θηρίον,
τὸν τύραννον τῶν Χριστιανῶν καὶ σφάκτην καὶ διώκτην. (F. 61 *a*.)
Φθένταις, ῥηγάδες, τὸ λοιπὸν ἀπὸ τοῦ νῦν σᾶς γράφω,
ν' ἀκούσετε, νὰ μάθετε τὴν δύναμιν τοῦ Τούρκου.
Ἔχει 'ς τὴν Ἀνδριανούπολιν ἡ Πόρτα του καὶ μόνον
δέκα χιλιάδαις ἐκλεκτοὺς ἄνδραις νὰ πολεμήσουν,
ἔχει καὶ γιανιτζάριδαις χιλιάδαις δεκαπέντε,
φραζῆδες Χριστιανοὺς κακοὺς τριαντἄχει χιλιάδαις,
τὸ δ' ἄλλον τὸ ἀπολειφθέν, τὸ πρόλοιπον φωσσάτον,
ἀπὸ τὴν Ἀνδριανούπολιν 'ς τὸν γῦρον της ἀπέσω
ἔχει καὶ αὐτοῦ ἀληθινὰ κοσιπέντε χιλιάδαις·
ἔχει καὶ εἰς τὴν Καλλίπολιν φουσσάτον καβαλλάρους,
τρεῖς χιλιάδαις ἐκλεκτοὺς ἄνδραις νὰ πολεμήσουν·
Νικόπολιν, Δεμότοιχον μὲ τὴν περιοχήν των,
ἔχει φωσσάτον ἀπ' αὐτοῦ ὡς δώδεκα χιλιάδαις·
Σέρραις, Βεργία, Σκόπια, μὲ τὴν περιοχήν των,
ἔχει καὶ αὐτοῦ ἀληθινὰ χιλιάδαις δεκαπέντε·
Ἀχρίδα μὲ τὴν Καστοριὰν καὶ μὲ τὴν Βουλγαρίαν

736. Il me semble que le sens exigerait la suppression du second οὐδέν. — 737. ἐδὰ. — 741. εἰς. — 747. αὐθέντες.

ἔχει καὶ αὐτοῦ εἰς μιὰν φωνὴν νὰ βγάλῃ ἑπτὰ χιλιάδαις.
Αὐλαῖς καὶ Ῥαδοβίζιο, ὁ Γρεβενὸς καὶ Στίπι,
ἔχει καὶ αὐτοῦ ἀληθινὰ ὡς τέσσαραις χιλιάδαις. (F. 61 *b*.
Ἄρτα καὶ τὰ Γιάννινα μὲ τὴν περιοχήν των
ἐβγάλλουν ἄνδραις τε καλοὺς χιλίους τοῦ πολέμου·
Τρίκκαλα μὲ τὴν Λάρισσον, Φέρσαλα καὶ Φανάρι,
Ζητούνι μὲ τὸ Δομοκό, Σάλωνα, Λειβαδεία,
Ἑλλάδα, Πάτρα, Ἄγραφα, Βελούχι, τὸ Πρωτόλιο,
